42. Ὅμως προαγορεύομεν τῷ ἐξουσίαν πεποιηκέναι Ἀθηναίων βουλομένῳ, ἐπειδὰν δοκιμάσῃ καὶ ἴδῃ τὰ ἐν τῇ πόλει πράγματα, καὶ ἡμᾶς καὶ τοὺς νόμους, ᾧ ἂν μὴ ἀρέσκωμεν ἡμεῖς, ἐξεῖναι λαβόντα τὰ αὑτοῦ, ἀπιέναι ὅπῃ ἂν βούληται, καὶ οὐδεὶς ἡμῶν τῶν νόμων ἐμποδὼν ἐστίν, οὐδ' ἀπαγορεύει, ἐάν τε τις βούληται ὑμῶν εἰς ἀποικίαν ἰέναι, εἰ μὴ ἀρέσκοιμεν ἡμεῖς καὶ ἡ πόλις, ἐάν τε μετοικεῖν ἄλλοσέ ποι ἐλθών, ἰέναι ἐκεῖσε ὅπῃ ἂν βούληται ἔχων τὰ αὑτοῦ (*Πλάτωνος Νόμοι*) (α). — Ὁ νόμος αὐτὸς ἐτέθη ὑπὸ τοῦ Σόλωνος, διότι οἱ Πειραιεῖς ἦσαν στασιαστικώτεροι τῶν Ἀθηναίων, ἐφοβεῖτο δὲ μήπως οἱ Ἀθηναῖοι, κατερχόμενοι εἰς Πειραιᾶ, δημιουργοῦν ἐπαναστάσεις. *(Ἴδε καὶ Λυσίου Ἀπολογία περὶ καταλύσεως τοῦ δήμου, 33, καὶ ἀπολογ. περὶ ἱεροσυλίας Καλλίου)* (β).

43. *Πλουτ. Σόλ. XXI. 30.* — Ὁ Σόλων κατέστησε εἰδικοὺς ἄρχοντας, *γυναικονόμους* ἢ *γυναικοκόσμους* καλουμένους, εἰς οὓς ἀνέθεσε τὴν ἐπίβλεψιν τῶν γυναικῶν. — Γυναικονόμοι δὲ ἀρχὴ ἐπὶ τοῦ κόσμου τῶν γυναικῶν. τὰς δὲ ἀκοσμούσας ἐζημίουν, καὶ τὰς ζημίας αὐτῶν γράφοντες ἐξετίθεσαν ἐπὶ τῆς πλατάνου τῆς ἐν Κεραμεικῷ (*Πολυδ. Η. 112*). — Εἶχον οὗτοι τὸ δικαίωμα νὰ καταμηνύωσιν εἰς τὰς ἀρχὰς καὶ τὰς ἀναιδῶς ἢ ἀμελῶς ἐνδεδυμένας. Ὅτι χιλίας ἐζημιοῦντο αἱ κατὰ τὰς ὁδοὺς ἀκοσμοῦσαι γυναῖκες, Ὑπερείδης ἐν τῷ κατ' Ἀρισταγόρᾳ β' εἴρηκεν. Κρώβυλος δὲ ὁ κωμικὸς φησι τοῦ Φιλιππίδου τὸν νόμον εἶναι, τὸν περὶ τούτων κείμενον (*Ὑπερείδου ἀπόσπασμα κατ' Ἀρισταγ. ἀπροστασίου, V, 14*). — Οἱ γυναικονόμοι ἐν ἀρχῇ ἦσαν

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

44. Τὴν γυναῖκα μὴ συναλλάσσειν, πλὴν ἄχρι μεδίμνου κριθῶν.

45. Ἐπὶ ζεύγους μὴ ἀπεῖναι γυναῖκα Ἐλευσίναδε, εἰ δέ τις φωραθείη, ἀποτίνειν δραχμὰς ἑξακισχιλίας.

46. Χιλίας ζημιοῦσθαι τὰς κατὰ τὰς ὁδοὺς ἀκοσμούσας γυναῖκας.

47. Τὰς ἑταίρας ἄνθινα φορεῖν.

48. Ὁ Σόλων πρῶτος κατέστησε χαμαιτυπεῖα καὶ ἑταίρας δημοσίας, ἵνα οἱ νέοι ἀρκούμενοι τῇ Ἀφροδίτῃ ταύτῃ, ἀφίστανται τῶν αἰσχυντηλῶν μεριμνῶν.

49. *Ξένοι.* Τοὺς ἐξ ἀλλοδαπῆς Ἀθήνησι κατοικεῖν ἐθέλοντας, εἰς πολίτας ἐνταῦθα χρόνον ὀλίγον διατρίψαντας ἐγγράφεσθαι.

---

ἄρχοντες ἐπιφορτισμένοι τὴν ἐπίβλεψιν τῶν γυναικῶν, βραδύτερον ὅμως, φαίνεται, ὅτι, ἐγένοντο ὑπάλληλοι τοῦ Ἀρείου Πάγου, καὶ ὅτι παρεσχέθησαν αὐτοῖς εὐρύτατα ἀστυνομικὰ καθήκοντα. Οὕτω παρηκολούθουν αὐτάς, μεταβαινούσας εἰς ἑορτὰς καὶ συμπόσια, καὶ ἐδικαιοῦντο νὰ ζητῶσι παρὰ τῶν μαγείρων τῶν ἐν διαφόροις ἑορταῖς ὑπηρετούντων, τὰ ὀνόματα τῶν κεκλημένων, ὧν ὁ ἀριθμὸς (ἴδε κατωτέρω θέματα 543 καὶ 544) δὲν ἠδύνατο νὰ ὑπερβαίνῃ τοὺς τριάκοντα.

*Παρὰ τοῖς Γυναικονόμοις δὲ τοὺς ἐν τοῖς γάμοις*
*διακονοῦντας ἀπογεγράφθαι πυθόμενος*
*πάντας μαγείρους κατὰ νόμον καινόν τινα,*
*ἵνα πυνθάνωνται τοὺς κεκλημένους ἐὰν*
*πλείους τις ὧν ἔξεστι ἑστιῶν τύχῃ*
*ἐλθών.*

*(Μένανδρος).*

44. Ὁ περιορισμὸς οὗτος δὲν ἐτηρήθη, διότι αἱ γυναῖκες βραδύτερον, οὐ μόνον ἠδύναντο νὰ συναλλαγῶσι διὰ μείζονα ποσά, ἀλλὰ καὶ διαχείρισιν εἶχον ἰδίαν, καὶ δάνεια συνωμολόγουν.

45. Διὰ τοῦ νόμου τούτου ἀπηγορεύθη εἰς τὰς γυναῖκας νὰ μεταβαίνουν εἰς τὰ Ἐλευσίνια μυστήρια ἐφ' ἁμάξης. — Τοῦτο δέ, ὅπως μὴ ἐλαττῶνται ὑπὸ τῶν πλουσίων, εἰ δέ τις φωραθείη, ἀποτίνειν δραχμὰς ἑξακισχιλίας· τῆς δὲ γυναικὸς αὐτοῦ μὴ πεισθείσης, τῶν συκοφαντῶν φωρασάντων, τάλαντον αὐτοῖς ἔδωκε.

46. Ἴδε ἀνωτέρω σημείωσιν 43.

47. Ὡς τὸν δραπέτην τὰ στίγματα, οὕτως τὴν μοιχαλίδα δείκνυσι τὰ ἀνθίσματα (*Κλήμης Ἀλεξανδρεύς*).

48. *Thesaurus Ottonis, Τόμ. IV. σελ. 438. — Νίκανδρος ἐν στ' Κολοφωνιακῶν* Σόλωνά φησι σώματα ἀγοράσαντα εὐπρεπῆ ἐπὶ στέγης στῆσαι διὰ τοὺς νέους, καὶ ἐκ τῶν περιγενομένων χρημάτων ἱδρύσασθαι Ἀφροδίτης πανδήμου ἱερόν. (*Ἁρποκρ. λ. Πάνδημος*).

49. Ἐν ἀρχῇ, ὁ Θησεύς, ἔτι δὲ μᾶλλον αὐξῆσαι τὴν πόλιν βουλόμενος ἐκάλει πάντας ἐπὶ τοῖς ἴσοις καὶ τὸ *Δεῦρ' ἴτε πάντες λεῴ*, κήρυγμα Θησέως γενέσθαι φασὶ πανδημίαν τινὰ καθιστάντος (*Πλουτ. Θησεὺς XXV*). — Οἱ Ἀθηναῖοι τὸ παλαιὸν εὐθὺς μετεδίδοσαν πολιτείας· ὕστερον δὲ οὐκέτι (*Θουκυδ. 1*).—Ἀλλ' ἵνα ὁ ἐν Ἀθήναις διατρίψας ξένος γίνῃ πολίτης, ἔδει νὰ πολιτογραφηθῇ. Οὕτω, κωμῳδεῖται ὁ Ἀρχέδημος, ὃς καίτοι χρονίσας ἐν Ἀθήναις, οὐκ ἠδυνήθη ἀναγραφῆναι εἰς τοὺς πολίτας (*Σχόλ. Ἀριστοφ.*).

Ακαδημία Αθηνών /Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



50. Τοὺς ξένους ἐν τῇ ἀγορᾷ μὴ ἐργάζεσθαι.

51. Τοὺς ξένους μὴ ἀδικεῖσθαι.

---

50. Οὐκ ἔξεστι ξένῳ ἐν τῇ ἀγορᾷ ἐργάζεσθαι (*Δημοσθ. Εὐβουλίδ. 31, σελ. 1308*).

51. Τοὺς γὰρ ξένους, ἐξ οὗ ὅ τε Σίννης καὶ Σκείρων, καὶ ὁ Προκρούστης ἀπέθανον, οὐδεὶς ἔτι ἀδικεῖ· ἀλλὰ νῦν οἱ μὲν πολιτευόμενοι ἐν ταῖς πατρίσι καὶ νόμους τίθενται ἵνα μὴ ἀδικῶνται, καὶ φίλους πρὸς τοῖς ἀναγκαίοις καλουμένοις ἄλλους κτῶνται βοηθούς. καὶ ταῖς πόλεσιν ἐρύματα περιβάλλονται, καὶ ὅπλα κτῶνται οἷς ἀμύνονται τοὺς ἀδικοῦντας (*Ξενοφ. Ἀπομνημ. 1. 14*).— *Ξενία*. Ἰδιάζουσα εἰς τοὺς Ἕλληνας ἀρετὴ ἐθεωρεῖτο ἡ φιλοξενία. Οἱ ξένοι ἐθεωροῦντο ὡς προστατευόμενοι ὑπὸ τοῦ Διός, ὅστις καὶ ξένιος καὶ ἱκετήσιος ἐκαλεῖτο (*Ὁμήρου Ὀδ. Ξ. 57, 283, κλπ.*). — Ἐὰν δὲ ξένος ἐπιδημήσας ὀπώρας ἐπιθυμῇ φαγεῖν διαπορευόμενος τὰς ὁδούς, τῆς μὲν γενναίας ἁπτέσθω, ἐὰν βούληται, μεθ' ἑνὸς ἀκολούθου χωρὶς τιμῆς, ξένια δεχόμενος, τῆς δὲ ἀγροίκου λεγομένης καὶ τῶν τοιούτων, ὁ νόμος εἰργέτω μὴ κοινωνεῖν ἡμῖν τοὺς ξένους. (*Πλάτων. Νομ. Χ. σελ. 845*). — Λέγει τις νόμος Λευκανῶν, ἐὰν ἡλίου δύντος ἀφίκηται ξένος καὶ παρελθεῖν ἐθελήσῃ ἐς στέγην τινός, ὁ δὲ μὴ δέξηται τὸν ἄνδρα, ζημιοῦσθαι αὐτὸν καὶ ὑπέχειν δίκας τῆς κακοξενίας, ἐμοὶ δοκεῖν καὶ τῷ ἀφικομένῳ καὶ τῷ ξενίῳ Διί. (*Αἰλιαν. Ποικ. Ἱστ. Δ' 1*). — Εἰς τὰς οἰκίας τῶν εὐπόρων Ἀθηναίων περιελαμβάνετο ἴδιον διαμέρισμα, προωρισμένον διὰ τοὺς ξένους, ὑπὸ τὸ ὄνομα ξενών, ὅταν δὲ ἤρχισε μεγάλη συρροὴ εἰς τὰς Ἀθήνας ξένων καὶ συμμάχων, καὶ δὴ καὶ τὰς ἑορτὰς καὶ πανηγύρεις, ἱδρύθησαν διάφορα καταλύματα δι' αὐτούς, *πανδοχεῖα, ἢ καταγώγια, ἢ καταλύσεις ἢ σκηνώματα* ἀποκληθέντα (*Αἰλιαν. Ποικ. Ἱστ. Δ. 9*), ἐν οἷς κατέλυον, καθάπερ οἱ τῶν ὀρνίθων διαπορευόμενοι (*Πλάτων. Νόμοι ΙΒ. VI, σελ. 952*) ἀπολαύοντες περιποιήσεων κατὰ λόγον τοῦ σκοποῦ δι' ὃν ἦλθον καὶ τῆς τάξεως, εἰς ἣν ἀνῆκον (*Πλάτων. Νόμοι, αὐτόθι*). — Κατ' ἀντίθεσιν πρὸς τὰς Ἀθήνας καὶ ἄλλας Ἑλληνικὰς χώρας, οἱ Σπαρτιᾶται ἦσαν ξένοισιν ἀπρόσμικτοι (*Ἡροδ. Α' 65*), ἀπηγορεύθη δὲ ἡ ἐν τῇ Σπάρτῃ ἡ διαμονὴ ξένων, ὅπως μὴ ραδιουργίας οἱ πολῖται ἀπὸ τῶν ξένων ἐμπίπλανται (*Ξενοφ. Λακεδ. Πολιτ. ΙΔ'. 4. Πλουτ. Λυκούργ. XXVII. Θουκυδ. Β'. 39*). — Ἀπότοκος τῆς πρὸς τοὺς ξένους ἀγάπης καὶ βοηθείας ὑπῆρξεν ἡ δημιουργία τῆς *Προξενίας*, ἤτοι τῆς δημιουργηθείσης σχέσεως μεταξὺ δύο πολιτειῶν. Καὶ ἐν ἀρχῇ μὲν ἡ προξενία ἦτο ἰδιωτική, ἤτοι πᾶς κάτοικος συνδεόμενος μετά τινος χώρας εἶχε τὴν ὑποχρέωσιν νὰ φιλοξενήσῃ τοὺς ἐξ αὐτῆς προερχομένους, ἐκαλεῖτο δὲ οὗτος ἐθελόξενος (*Πολυδ. Γ. 59, κλπ.*), βραδύτερον ὅμως κατέστη δημοσία, ὅταν πόλεως δημοσίᾳ προξενῇ τις ἐν ἄλλῃ πόλει, ὡς ὑποδοχῆς τε τῶν ἐκεῖθεν φροντίζειν, καὶ προσόδου τῆς πρὸς τὸν δῆμον καὶ ἕδρας ἐν τῷ θεάτρῳ (*Πολυδ. Γ. 59*). — Οἱ πρόξενοι οὗτοι, ἦσαν πολῖται εἴτε τῆς ἐκπροσωπούσης χώρας, ὅπερ συνηθέστερον (*Αἰσχίν. Κτησιφ. σελ. 647, κ.λπ.*), εἴτε τῆς ἐκπροσωπευομένης (*Ξενοφ. Ἑλλην. Ε. 4. 22. Παυσαν. ΙΙΙ. 8.3, κ.λπ.*). — Μεταξὺ τῶν καθηκόντων τούτων, ἦτο ἡ προστασία τῶν συμφερόντων τῆς ἐκπροσωπουμένης χώρας (*Ξενοφ. Ἑλλην. ΣΤ. 3, 4*), καὶ ἡ ἀνάμιξις τοῦ Προξένου εἰς τὴν τακτοποίησιν τῶν περιουσιακῶν στοιχείων τοῦ ἀποβιοῦντος ξένου. Ἐγὼ δὲ προξενῶν τυγχάνω τῶν Ἡρακλεωτῶν, ἀξιῶ δή σε δεῖξαί μοι τὰ γράμματα, ἵν' εἰδῶ, εἴ τι καταλέλειπεν ἀργύριον· ἐξ ἀνάγκης γάρ μοί ἐστιν ἁπάντων Ἡρακλεωτῶν ἐπιμελεῖσθαι (*Δημοσθ. Καλλίππου, 5 σελ. 1237*). Οἱ πρόξενοι οὗτοι ἀπήλαυον ἰδιαιτέρων προνομίων, ἤτοι, ἀνεγνωρίζετο αὐτοῖς ἰσοπολιτεία, δικαίωμα ἐγκτήσεως, ἐπιγαμίας, ἀτέλεια καὶ ἀσυλία, δικαιώματα ἅτινα συνήθως διὰ συνθήκης ἀνεγνωρίζοντο εἰς τοὺς κατοίκους ἀμφοτέρων τῶν χωρῶν, τῆς τε ἐκπροσωπουμένης καὶ τῆς ἐκπροσωπούσης (*Δημοσθ. Στεφ. 256. Δημοσθ. Λεπτιν. 475. Ξενοφ. Ἑλλην. Α. Ι. 20, Ε. 2. 19, κ.λπ.*).

Ακαδημία Αθηνών / Academy of Athens



52. Ὑποφαίνειν ὁδὸν πλανωμένοις καὶ κοινωνεῖν κατὰ τὸν βίον ὕδατος καὶ πυρός.

53. Τοὺς τῆς ξενίας γραφθέντας, ἐν τῷ οἰκήματι πρὸ τῆς κρίσεως μένειν, καὶ μὴ ἐξεῖναι ἐγγυητὰς καταστῆσαι. Κἂν μὲν ἁλῶσι καὶ παρὰ τῷ δικαστηρίῳ, πεπρᾶσθαι.

54. Τοὺς ἀποφυγόντας ξενίας, ἐξεῖναι τῷ βουλομένῳ πάλιν γράψασθαι δωροξενίας.

55. Μὴ ἐξεῖναι διαμαρτυρεῖν τοῖς ξένοις ἐπὶ ταῖς γραφαῖς ἀπροστασίου.

56. Ἐὰν δὲ ξένος ἀστῇ συνοικῇ τέχνῃ ἢ μηχανῇ ἡτινιοῦν, γραφέσθω πρὸς τοὺς θεσμοθέτας Ἀθηναίων ὁ βουλόμενος, οἷς ἔξεστιν. ἐὰν δὲ ἁλῷ, πεπράσθω καὶ αὐτὸς καὶ ἡ οὐσία αὐτοῦ, καὶ τὸ τρίτον μέρος ἔστω τοῦ ἑλόντος.

57. Ὡσαύτως, καὶ ἐὰν ξένη ἀστῷ συνοικῇ κατὰ ταὐτά. Καὶ ὁ συνοικῶν τῇ ξένῃ τῇ ἁλούσῃ, ὀφειλέτω χιλίας δραχμάς.

58. Μηδένα ξένον μυεῖν.

---

52. Ὁ γὰρ Βουζύγης Ἀθήνησιν ἀρᾶται καὶ τοῖς μὴ κοινωνοῦσι κατὰ τὸν βίον ὕδατος ἢ πυρός, ἢ μὴ ὑποφαίνουσιν ὁδὸν πλανωμένοις.

53. Οἱ ἰδιοποιούμενοι παρὰ τὸν νόμον τὴν ἰδιότητα τοῦ πολίτου, ἠδύναντο παρὰ παντὸς πολίτου νὰ καταμηνυθῶσι διὰ τῆς γραφῆς ξενίας ἢ διὰ τῆς Εἰσαγγελίας, ἐν τῇ περιπτώσει ταύτῃ καὶ ἐὰν οἱ μηνυόμενοι ἠμφισβήτουν τὴν γραφήν, ὡς βασιζομένην ἐπὶ ψευδῶν μαρτυριῶν, ἐπροφυλακίζοντο, μέχρι τῆς ἐκβάσεως τῆς περὶ ψευδομαρτυριῶν δίκης, μὴ δυνάμενοι ν᾽ ἀπαλλαγῶσι τῆς προφυλακίσεως καὶ ἐὰν παρεῖχον ἐγγυητάς. — Οὐδὲ γὰρ οἱ τῆς ξενίας ἁλισκόμενοι ἀγανακτοῦσιν ἐν τῷ οἰκήματι τούτῳ ὄντες, ἕως ἂν τῶν ψευδομαρτυριῶν ἀγωνίσωνται, ἀλλὰ μένουσι καὶ οὐκ οἴονται δεῖν ἐγγυητὰς καταστήσαντες περιιέναι. Ἔδοξε γὰρ τῇ πόλει ἀπιστεῖν αὐτοῖς, καὶ οὐκ ᾤετο δεῖν διακρουσθῆναι τῆς τιμωρίας δι᾽ ἐγγυητῶν καταστάσεως (*Δημοσθ. Τιμοκρ. 131 σελ. 741*).

54. Ἐὰν ὁ μηνυθεὶς διὰ τῆς γραφῆς ξενίας ἀθωωθῇ, διότι τυχὸν ἐδωροδόκησε τὸν μηνυτὴν ἢ τοὺς μάρτυρας, ὑπεβάλλετο κατ᾽ αὐτοῦ ἡ γραφὴ δωροξενίας. Εἰσὶ δὲ καὶ γραφαὶ πρὸς αὐτοὺς (τοὺς θεσμοθέτας) ὧν παράστασις τίθεται, ξενίας καὶ δωροξενίας, ἄν τις δῶρα δοὺς ἀποφύγῃ τὴν ξενίαν (*Ἀριστοτ. Ἀθην. Πολ. LIX*). Ἴδε *Ἁρποκρ. λ. δωροξενία*, καὶ *Ὑπερείδ. Ἀναξαγόρα, ἀπόσπ. 20*.

55. Οἱ ξένοι δὲν ἠδύναντο νὰ χρησιμεύσουν ὡς μάρτυρες εἰς γραφὴν ἀπροστασίου κατὰ μετοίκου.

56. *Δημοσθ. Νεαίρας, 16 σελ. 1350*. — Ἴδε ἑπομένην σημείωσιν.

57. Ὁ νόμος οὐκ ἐᾷ τὴν ξένην τῷ ἀστῷ συνοικεῖν οὐδὲ τὴν ἀστὴν τῷ ξένῳ, οὐδὲ παιδοποιεῖσθαι, τέχνῃ οὐδὲ μηχανῇ οὐδεμιᾷ· ἐὰν δὲ τις παρὰ ταῦτα ποιῇ, γραφὴν πεποίηκε κατ᾽ αὐτῶν εἶναι πρὸς τοὺς θεσμοθέτας, κατά τε τοῦ ξένου καὶ τῆς ξένης, κἂν ἁλῷ, πεπρᾶσθαι κελεύει (*Δημοσθ. Νεαίρας 17, σελ. 1350*).

58. Μέλλων οὖν ἐπὶ ταύτην ἀπιέναι, ἦλθε πρὸς Εὔμολπον, εἰς Ἐλευσῖνα, βουλόμενος μυη-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



59. Τοῖς ξένοις καὶ τοῖς δούλοις ἐλθεῖν ἐξεῖναι εἰς τὰ ἱερὰ τὰ δημοτελῆ, καὶ θεσαμένους καὶ ἱκετεύσαντας εἰσιέναι.

60. *Μέτοικοι*. Μὴ γενέσθαι πολίτας, πλὴν τοὺς φεύγοντας ἀειφυγίᾳ τὴν ἑαυτῶν, ἢ πανεστίους Ἀθήναζε μετοικιζομένοις ἐπὶ τέχνῃ.

61. Τῶν μετοίκων ἕκαστον ἕνα τῶν ἀστῶν νέμειν προστάτην, καὶ δι' αὐτοῦ τὸ μετοίκιον τίθεσθαι κατ' ἔτος, καὶ τὰ ἄλλα διοικεῖσθαι.

62. Ἀπροστασίου δίκη.

---

θῆναι· ἦν δὲ οὐκ ἐξὸν ξένοις τότε μυεῖσθαι· ἐπειδὴ περ Θέσπιος Πυλίου γενόμενος παῖς, ἐμυεῖτο. (*Ἀπολλοδ. ΙΙ. 5, 12*).

59. Τῇ μοιχαλίδι οὐκ ἔξεστιν ἐλθεῖν εἰς οὐδὲν τῶν ἱερῶν τῶν δημοτελῶν, εἰς ὃ καὶ τὴν ξένην καὶ τὴν δούλην ἐλθεῖν ἐξουσίαν ἔδοσαν οἱ νόμοι καὶ θεασαμένην καὶ ἱκετεύσουσαν εἰσιέναι (*Δημοσθ. Νεαίρας 85, σελ. 1374*). — Οἱ δοῦλοι μάλιστα καταφεύγοντες εἰς τὸ ἱερὸν τῶν Σεμνῶν Θεῶν (καὶ δὴ εἰς τὸ Θησεῖον) εἶχον ἀσυλίαν.

60. *Μέτοικοι*. Τοῦτο δὲ ποιῆσαι τὸν Σόλωνα, οὐχ οὕτως ἀπελαύνοντα τοὺς ἄλλους, ὡς κατακαλούμενον Ἀθήναζε τούτους ἐπὶ βεβαίῳ τῷ μεθέξειν τῆς πολιτείας· καὶ ἅμα πιστοὺς νομίζοντα, τοὺς μὲν ἀποβεβληκότας τὴν ἑαυτῶν διὰ τὴν ἀνάγκην, τοὺς δὲ ἀπολελοιπότας διὰ τὴν γνώμην (*Πλουτ. Σόλ. XXIV*). — Μέτοικος, ὁ μετοικήσας εἰς ἑτέραν πόλιν ἐκ τῆς ἑαυτοῦ, καὶ τοῦ μὲν ξένου πλέον τι ἔχων, τοῦ δὲ πολίτου ἔλαττον (*Πλουτ. αὐτόθι*). — Ὁ τῶν μετοίκων ἀνὴρ δώδεκα δραχμὰς ἐτέλει μετοίκιον, ἡ δὲ γυνὴ ἕξ, καὶ ὅτι τοῦ υἱοῦ τελοῦντος, ἡ μήτηρ οὐκ ἐτέλει· μὴ τελοῦντος δ' ἐκείνου, αὐτὴ τελεῖ (*Ἰσαίου - Ἐλπαγόρου καὶ Δημοφάνους, Ἁρποκρ. λέξ. μετοίκιον*). — Οἱ μέτοικοι ὑπεχρεοῦντο νὰ συνεισφέρωσιν εἰς τὰς ἐκτάκτους συνεισφορὰς τοῦ δήμου (*Δημοσθ. Ἀνδροτ. 54, 61, σελ. 609, 612*), δὲν ἠδύναντο νὰ ἔχωσιν ἰδίαν κτῆσιν, διὰ τοῦτο, οὐχ οἷός τε ἔσοιτο εἰσπράττειν ὅσα Πασίων ἐπὶ γῇ καὶ συνοικίαις δεδανεικὼς ἦν (*Δημοσθ. Φορμίων. σελ. 946, Ξενοφ. Περὶ προσόδ. ΙΙ. 6, κ.λπ.*), ἐκτὸς ἐὰν ἐτύγχανον τοῦ δικαίου ἰσοπολιτείας. — Ἡ ἐπιμέλεια τῶν μετοίκων καὶ ἡ προστασία αὐτῶν ἦτο ἀνατεθειμένη εἰς τὸν ἄρχοντα Πολέμαρχον, ὅστις ἐπίσης ἦτο ἁρμόδιος νὰ ἐκδικάζῃ τὰς διαφορὰς τῶν κληρονόμων τῶν μετοίκων κατὰ τὸν νόμον, ὃς κελεύει ἐπιδικασίαν εἶναι τῶν ἐπικλήρων... περὶ δὲ τῶν μετοίκων τὸν πολέμαρχον, καὶ ἀνεπίδικον μὴ ἐξεῖναι ἔχειν μήτε κλῆρον μήτε ἐπίκληρον (*Δημοσθ. Στεφάνου Β' 22 σελ. 1135*). Εἰς τούτους κυρίως ἦτο ἀνατεθειμένη ἡ ἐμπορία καὶ ἡ βιομηχανία, διὰ τοῦτο δὲ ἰσηγορίαν ἐποιήσαμεν καὶ τοῖς μετοίκοις πρὸς τοὺς ἀστούς, διότι δεῖται ἡ πόλις μετοίκων διά τε τὸ πλῆθος τῶν τεχνῶν καὶ διὰ τὸ ναυτικὸν (*Ξενοφ. Ἀθην. Πολ. 12, κ.λπ.*). Κατ' ἐξαίρεσιν ὅμως ἐὰν μέτοικόν τις ἀποκτείνῃ φυγῆς μόνον καταδικάζεται, ἐὰν δὲ μέτοικος ἀστόν, θάνατος ἡ ζημία (*Ξενοφ. Ἀθην. Πολ. 10*). — *Ἴδε Πλάτων. Πολιτεία Β' καὶ ν. 2 Π. 50. 11*).

61. Ἡρεῖτο γὰρ ἕκαστος τῶν μετοίκων ὃν ἤθελε τῶν πολιτῶν τινα προστάτην, τὸν ἐπιμελησόμενον καὶ τῶν ἰδίων καὶ τῶν δημοσίων ὑπὲρ αὐτοῦ, ὥσπερ ἐγγυητὴν ὄντα (*Ἐτυμολογικόν, λέξ. ἀπροστάσιον*).

62. Διὰ τῆς περὶ ἀπροστασίου γραφῆς κατεδιώκοντο οἱ μὴ ἔχοντες προστάτην μέτοικοι, οἱ ἰδιοποιούμενοι δικαιώματα πολίτου, καὶ οἱ μὴ καταβάλλοντες τὸ μετοίκιον (*Ἐτυμολογικόν, λέξ. ἀπροστάσιον*).

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



63. Ὁ νόμος οὐκ ἐᾷ τοὺς μετοίκους ἐξοικεῖν ἐν τῷ πολέμῳ.

64. *Δοῦλοι*. Ἀνικανότητες αὐτῶν. Οὐ πολίτης (α), οὐ μετέχει ἱερῶν (β), οὐδὲ παλαίστρᾳ (γ), οὐ δύναται ἐρᾶν ἐλευθέραν (δ), ὁ ἀργὸς οὐ τρέφεται (ε).

65. *Προστασία*. Οὐ τύπτεται (α), προστατεύεται ὑβριζόμενος, δύναται μεταβαλεῖν σκληρὸν κύριον (β).

66. Τελεῖ ὑπὸ κύριον. Τοῦ λυσαμένου ἐκ τῶν πολεμίων εἶναι τὸν λυθέντα, ἐὰν μὴ ἀποδῷ λύτρα.

67. Ἐάν τις μὴ δόξῃ δικαίως εἰς ἐλευθερίαν ἀφελέσθαι τινά, τὸ ἥμισυ τοῦ τιμήματος ὀφείλειν τῷ δημοσίῳ.

68. *Ἀπελευθέρωσις*. Ὑπὸ τοῦ κυρίου ἢ ὑπὸ ξένου. Ἐξεῖναι τοῖς δούλοις

---

63. Οὐκ ἐᾷ τοὺς μετοίκους ἐξοικεῖν ἐν τῷ πολέμῳ (*Ὑπερείδ. Ἀθηνογ. XVI, 33*). — Βραδύτερον ὅμως ἐπετράπη. Οὕτω, ἐκ τῶν 25.000 μετοίκων τῶν Ἀθηνῶν, κατὰ τὸν Πελοποννησιακὸν πόλεμον, μέτοικοι ξυνεσέβαλον οὐκ ἐλάσσονες τρισχιλίων ὁπλιτῶν (*Θουκυδ. II. 31*) καὶ εἰς τὸ ναυτικὸν ἐπλήρωσαν ναῦν ἑκατὸν ἐσβάντες αὐτοί καὶ οἱ μέτοικοι (*Θουκυδ. III. 16*), καὶ εἰς τὸ ἱππικόν, καὶ τοῦ ἱππικοῦ εὐνουστέρους ἂν ποιεῖσθαι (*Ξενοφ. Περὶ πόρων, II. 5*).

64. Τὸν φύσει δοῦλον γενόμενον μὴ μετέχειν τῆς πολιτείας (α). — Ἴδε ἀνωτέρω θέμα 59 (β). — Δοῦλον μὴ γυμνάζεσθαι, μηδὲ ξηραλοιφεῖν ἐν ταῖς παλαίστραις. Ὁπότε γὰρ οἱ νομοθέται τὸ καλὸν τὸ ἐκ τῶν γυμνασίων καταδόντες, ἀπεῖπον τοῖς δούλοις μὴ μετέχειν ἐν ταῖς παλαίστραις (*Αἰσχίν. Τιμοκρ. 138*) (γ). — Δοῦλον ἐλευθέρου παιδὸς μὴ ἐρᾶν, μητ' ἐπακολουθεῖν, ἢ τύπτεσθαι τῇ δημοσίᾳ μάστιγι πεντήκοντα πληγάς (Ἐλευθέρου παιδός, ἤτοι θυγατέρα ἐλευθέρου ἀνδρός). Οἱ νόμοι, ἃ τοῖς ἐλευθέροις ἡγοῦντο εἶναι πρακτέα, ταῦτα τοῖς δούλοις ἀπεῖπον μὴ ποιεῖν (*Αἰσχίν. Τιμοκρ. 138*) (δ). — Μὴ ἐξεῖναι ἀργὸν τρέφειν οἰκέτην (*Δημοσθ. Μειδίου*) (ε).

65. Ἂν τις τύπτῃ τὸν ἀλλότριον δοῦλον, γραφὰς εἶναι αἰκίας κατὰ τοῦ τύπτοντος. Οὐ γὰρ ὅστις ὁ πάσχων ᾤετο δεῖν σκοπεῖν, ἀλλὰ τὸ πρᾶγμα ὁποιόν τι τὸ γιγνόμενον· ἐπειδὴ δ' εὗρεν οὐκ ἐπιτήδειον, μήτε πρὸς δοῦλον μηθ' ὅλως ἐξεῖναι πράττειν ἐπέτρεψεν (*Δημοσθ. Μειδίου σελ. 529 ἑπ.*). — Τῶν δούλων δ' αὖ καὶ τῶν μετοίκων πλείστη ἐστὶν Ἀθήνησιν ἀκολασία, καὶ οὔτε πατάξαι ἔξεστιν αὐτόθι οὔτε ὑπεκστήσεταί σοι ὁ δοῦλος (*Ξενοφ. Ἀθην. Πολ. 10*, *Ὑπερείδ. Κατὰ Μαντιθέου αἰκίας, ἀπόσπ. 120*) (α). — Τοῖς δούλοις ἐξεῖναι πρᾶσιν αἰτεῖσθαι καὶ δεσπότην μεταβάλλειν ἐπιεικέστερον (*Νόμος τοῦ Σόλωνος*). — Οἱ δοῦλοι τυραννούμενοι ὑπὸ τοῦ κυρίου των κατέφευγον εἰς τὸν ναὸν τοῦ Θησέως, ὡς εἰς ἄσυλον, καὶ ἐκεῖ ἐδικάζοντο μετὰ τοῦ κυρίου των, ὅστις ἐὰν ἀπεδεικνύετο ὅτι ἦτο σκληρὸς ὑπεχρεοῦτο νὰ τὸν πωλήσῃ εἰς ἄλλον (β).

66. Ἀπελθὼν γὰρ εἰς τὴν πρώτην πρεσβείαν εὗρεν ἐν Μακεδονίᾳ τινὰς τῶν Ἀθηναίων αἰχμαλώτους, καὶ ὑπέσχετο φέρειν ἐκ τῶν ἰδίων χρημάτων καὶ ῥύσασθαι αὐτούς, οὐκ ἠδύνατο δὲ τοῦτο ποιῆσαι, εἰ μὴ ἐν προσχήματι πρεσβευτοῦ (*Δημοσθ. Περὶ παραπρεσβείας 413*).

67. Καί μοι λέγε τόν τε νόμον, ὃς κελεύει τὸ ἥμισυ τοῦ τιμήματος ὀφείλειν τῷ δημοσίῳ ὃς ἂν δόξῃ μὴ δικαίως εἰς τὴν ἐλευθερίαν ἀφελέσθαι (*Δημοσθ. Θεοκρίνου 21 σελ. 1328*). — Ἴδε ν. 24, 26 Π. 40. 12 καὶ ν. 14 Κ. 7. 16.

68. Ἐξεῖναι τῷ βουλομένῳ ἀφαιρεῖσθαι εἰς ἐλευθερίαν, καὶ κατεγγυῆσαι τὸν ἀγόμενον εἰς

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



ἑαυτοὺς ἐλευθερῶσαι, ἀργύριον καταβάλλοντας τῷ δεσπότῃ (α). Μὴ οἰκέτην ἀπελευθεροῦν ἐν τῷ Θεάτρῳ (β).

69. Τοὺς ἀπελευθέρους μὴ ἀφίστασθαί τι ἀπὸ τῶν ἀπελευθερωσάντων, μήτε ἕτερον ἐπιγράφεσθαι προστάτην, καὶ ἃ κελεύουσιν οἱ νόμοι ποιεῖν (α). Μηδενὶ ἐξεῖναι Ἀθηναίων, μηδὲ τῶν οἰκούντων Ἀθήνησιν, ἐλεύθερον σῶμα πρίασθαι ἐπὶ δουλείᾳ ἐκ τῶν ἁλισκομένων, ἄνευ τῆς τοῦ προτέρου δεσπότου γνώμης (β).

70. Ἀποστασίου γραφὰς εἶναι κατὰ τῶν ἀπελευθερωθέντων, ἐὰν ἀφιστῶταί τι ἀπ' αὐτῶν, ἢ ἕτερον ἐπιγράφωνται προστάτην, καὶ ἃ κελεύουσιν οἱ νόμοι μὴ ποιῶσι. Καὶ τοὺς μὲν ἁλόντας δούλους εἶναι, τοὺς δὲ νικήσαντας τελέως ἤδη ἐλευθέρους.

71. Ἐξεῖναι ἐπὶ ταῖς γραφαῖς ταῖς τοῦ ἀποστασίου διαμαρτυρεῖν τῷ βουλομένῳ, ὁμοίως τῶν ξένων καὶ τῶν ἐπιχωρίων.

72. *Πολιτογράφησις*. Μὴ ἐξεῖναι ποιήσασθαι Ἀθηναῖον, ὃν ἂν μὴ δι' ἀνδραγαθίαν εἰς τὸν δῆμον τῶν Ἀθηναίων ἄξιον ᾖ γενέσθαι πολίτην. Ἔπειτ' ἐπειδὰν πεισθῇ

---

δουλείαν πρὸς τῷ Πολεμάρχῳ (*Δημοσθ. Νεαίρας 40 σελ. 1358*). — Κατὰ τὴν διάταξιν ταύτην πᾶς πολίτης ἠδύνατο νὰ ἐλευθερώσῃ τὸν δικαζόμενον δοῦλον, παρέχων ἐγγύησιν εἰς τὸν Πολέμαρχον (α). — Μὴ οἰκέτην ἀπελευθεροῦν ἐν τῷ Θεάτρῳ, ἢ ἄτιμον εἶναι τὸν κήρυκα. — Ὁ νόμος οὗτος ἐτέθη, ἵνα μὴ μειῶται ἡ ἀξία τοῦ πολίτου, διὰ τῆς παραχωρήσεως πρὸς δούλους τῆς ἰδιότητος τοῦ πολίτου (β).

69. Ὁ ἀπελευθερούμενος ὀφείλει νὰ παρέχῃ τὰς ὑπηρεσίας πρὸς τὸν ἀπελευθεροῦντα κύριον, δὲν δύναται δὲ νὰ προσλάβῃ ἄλλον ὡς προστάτην. Ἅμα τῇ ἀπελευθερώσει των, περιήρχοντο εἰς τὴν τάξιν τῶν μετοίκων, ὑπεχρεοῦντο ἑπομένως νὰ καταβάλλουν εἰς τὸν τελώνην τὸ μετοίκιον, ἐκ δραχμῶν δώδεκα πρὸς δὲ καὶ τριῶν ὀβολῶν διὰ τὸν γραμματέα (*Ἁρποκρ., λέξ. μετοίκιον* (α). — Δὲν πωλεῖται δι' οἱανδήποτε αἰτίαν ὁ ἀπελευθερωθεὶς δοῦλος ἄνευ τῆς συγκαταθέσεως τοῦ ἀπελευθερώσαντος τοῦτον κυρίου του (β).

70. Ἀποστασίου, δίκη τις ἐστὶ κατὰ τῶν ἀπελευθερωθέντων, ἐὰν ἀφιστῶνταί τι ἀπ' αὐτῶν, ἢ ἕτερον ἐπιγράφωνται Προστάτην, καὶ ἃ κελεύουσιν οἱ νόμοι μὴ ποιῶσι, καὶ τοὺς μὲν ἁλόντας δεῖ δούλους εἶναι τοὺς δὲ νικήσαντας τελέως ἤδη ἐλευθέρους (Γραμματικοί).

71. Οἱ νόμοι κελεύουσι διαμαρτυρεῖν ἐν ταῖς γραφαῖς τοῦ ἀποστασίου τὸν βουλόμενον, ὁμοίως τῶν ξένων καὶ τῶν ἐπιχωρίων. Ἐν μὲν ταῖς τοῦ ἀποστασίου δίκαις οὐ κεκώλυνται διαμαρτυρεῖν οἱ ξένοι, ἐν δὲ ταῖς τοῦ Ἀπροστασίου κεκώλυνται (*Ὑπερείδ. Ἀναξαγόρα ἀπόσπασμ. 16*).

72. Οἱ ὑπὲρ τῆς Πολιτείας τῶν Ἀθηναίων ἐνεργῶς ἐργασθέντες ἠδύναντο νὰ πολιτογραφηθῶσι, ἀποφάσει τῆς ἐκκλησίας τοῦ δήμου, ἀποφαινομένης δι' ἑξακισχιλίων ψήφων. Οἱ οὑτωσὶ πολιτογραφηθέντες δὲν δύνανται νὰ γίνουν Ἄρχοντες ἢ νὰ καταλάβουν ἀξιώματα ἱερωσύνης. — Χαρίδημον ἐποιησάμεθα πολίτην, καὶ διὰ τῆς δωρειᾶς ταύτης μετεδώκαμεν αὐτῷ καὶ ἱερῶν καὶ ὁσίων καὶ νομίμων καὶ πάντων ὅσων περ αὐτοῖς μέτεστιν ἡμῖν (*Δημοσθ. Ἀριστοκρ. 65, σελ. 641 καὶ Νεαίρας 89 σελ. 1375*).

Ακαδημία Αθηνών / Academy of Athens



ὁ δῆμος καὶ δῷ τὴν δωρεάν, οὐκ ἐᾷ κυρίαν γενέσθαι τὴν ποίησιν, ἐὰν μὴ τῇ ψήφῳ εἰς τὴν ἐπιοῦσαν ἐκκλησίαν, ὑπερεξακισχίλιοι Ἀθηναίων, ψηφίσωνται κρύβδην ψηφιζόμενοι. Τοὺς δὲ Πρυτάνεις κελεύει τιθέναι τοὺς καδίσκους ὁ νόμος καὶ τὴν ψῆφον διδόναι προσιόντι τῷ δήμῳ, πρὶν τοὺς ξένους εἰσιέναι καὶ τὰ γέρρα ἀναιρεῖν... ὅσους γὰρ ἂν ποιήσηται ὁ δῆμος ὁ Ἀθηναίων πολίτας, ὁ νόμος ἀπαγορεύει διαρρήδην μὴ ἐξεῖναι αὐτοῖς τῶν ἐννέα Ἀρχόντων γενέσθαι, μηδὲ ἱερωσύνης μηδεμιᾶς μετασχεῖν· τοῖς δ᾽ ἐκ τούτων μετέδωκεν ἤδη ὁ δῆμος ἁπάντων, καὶ προσέθηκεν, ἐὰν ὦσιν ἐκ γυναικὸς ἀστῆς καὶ ἐγγυητῆς κατὰ τὸν νόμον.

73. Ἐξεῖναι τῷ βουλομένῳ Ἀθηναίων παρανόμων γραφὴν κατὰ τοῦ δημοποιήτου γράφειν, ὡς οὐκ ἄξιος ἐστὶ τῆς δωρεᾶς, ἀλλὰ παρὰ τοὺς νόμους Ἀθηναῖος γέγονε.

74. Γενέσθαι ζήτησιν πάντων τῶν ἐγγεγραμμένων τοῖς ληξιαρχικοῖς γραμματείοις εἴτε γνήσιοι πολῖται εἰσίν, εἴτε μή. Τοὺς δὲ μὴ γεγονότας ἐξ ἀστοῦ καὶ ἐξ ἀστῆς, ἐξαλείφεσθαι. Διαψηφίζεσθαι δὲ περὶ πάντων τοὺς δημότας, καὶ τοὺς μὴ ἀποψηφισθέντας καὶ ἐμμείναντας τῇ ψήφῳ τῶν δημοτῶν, ἐξαληλεῖφθαι καὶ εἶναι μετοίκους. Τοὺς δὲ βουλομένους ἔφεσιν εἰς δικαστὰς δεδόσθαι, κἂν μὲν ἁλῶσι καὶ παρὰ τῷ δικαστηρίῳ, πεπράσθαι. Ἐὰν δ᾽ ἀποφύγωσιν, εἶναι πολίτας.

75. Ἄτιμοι. Ἐκκηρύσσονται οἱ μεταποιοῦντες θεσμόν (α), ὁ μὴ τρέφων, ἢ ὁ

---

73. Ἔπειτα μετὰ ταῦτα παρανόμων γραφὴν ὁ νόμος ἐποίησε κατ᾽ αὐτοῦ (τοῦ δημοποιήτου) τῷ βουλομένῳ Ἀθηναίων, καὶ ἔστιν εἰσελθόντα εἰς τὸ δικαστήριον ἐξελέγξαι, ὡς οὐκ ἄξιός ἐστι τῆς δωρεᾶς, ἀλλὰ παρὰ τοὺς νόμους Ἀθηναῖος γέγονεν. καὶ ἤδη τισὶ τοῦ δήμου δόντος τὴν δωρεάν, λόγῳ ἐξαπατηθέντος ὑπὸ τῶν αἰτούντων, παρανόμων γραφῆς γενομένης καὶ εἰσελθούσης εἰς τὸ δικαστήριον ἐξελεγχθῆναι συνέβη τὸν εἰληφότα τὴν δωρεὰν μὴ ἄξιον εἶναι αὐτῆς, καὶ ἀφείλετο τὸ δικαστήριον (*Δημοσθ. Νεαίρας, 90 σελ. 1375*).

74. Ἐγένετο ἔλεγχος τῶν ἐν τοῖς ληξιαρχικοῖς βιβλίοις (δημοτολογίοις) ἐγγεγραμμένων, ἐὰν δὲ ἀπεδεικνύετο ὅτι τὶς δὲν προήρχετο ἐξ ἀστοῦ καὶ ἀστῆς, διεγράφετο, καὶ ἐὰν μὲν ἀπεδέχετο οὗτος τὴν διαγραφὴν καθίστατο μέτοικος, ἐὰν δὲ ἐφεσίβαλλε τὴν ἀπόφασιν ταύτην καθίστατο δοῦλος, ἐὰν ἀπερρίπτετο ἡ ἔφεσίς του. — Εἴ τις ξένος ἔδοξεν εἶναι οὐ πολίτης, τοῦτον ἐν ταῖς διαψηφίσεσι τῶν δήμων ἀπεψηφίζοντο οἱ δημόται, καὶ ἐλέγετο ἀπεψηφισμένος (*Σουΐδα λεξ. ἀπεψηφίσατο*).

75. Ἡ ἀτιμία ἦτο προσομοία τῷ πολιτικῷ θανάτῳ. — Ἡ ποινὴ τῆς ἀτιμίας διεκρίνετο εἰς τρεῖς βαθμούς. — Οἱ τοῦ πρώτου βαθμοῦ ἄτιμοι, ἤτοι, οἱ *καθάπαξ*, ὑποβαλλόμενοι εἰς τελείαν ἀτιμίαν, δὲν ἠδύναντο νὰ λάβωσιν οἱανδήποτε πολιτικὴν ἢ ἱερατικὴν ἀρχήν, δὲν ἠδύναντο νὰ μετέχωσιν εἰς τὴν ἐκκλησίαν τοῦ δήμου ἢ τὴν βουλήν, ἀπείργοντο τῆς ἀγορᾶς, ἀπεκλείοντο τῶν δημοτελῶν καὶ θυσιῶν, δὲν ἠδύναντο νὰ ἀσκήσωσι δίκην ἢ γραφήν, ὅταν προσεβάλλοντο δικαιώματα τούτων, οὐδὲ νὰ χρησιμεύσωσιν ὡς μάρτυρες, οὐδὲ νὰ στρατολογηθῶσιν, ἐθεωροῦντο ὡς πρόσωπα ἐκτὸς τοῦ νόμου, τὰ δὲ τέκνα αὐτῶν καὶ ἡ περιουσία των ἐπίσης περιελαμβάνοντο εἰς τὴν ἀτιμίαν, τέλος ἡ περιουσία των ἐδημεύετο, ἐὰν ἦσαν ὀφειλέται τοῦ δημοσίου. — Τοῦ δευτέρου βαθμοῦ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



τύπτων γονεῖς (β), ὁ νοσφιζόμενος δημόσια χρήματα (γ), ὁ τὰ πατρῷα δαπανῶν (δ), ὁ ἄεργος (ε), ὁ συνοικῶν μοιχαλίδι (στ), ὁ ἐκδίδων ξένην γυναῖκα (ζ), ὁ τὰ ὅπλα ἀποβεβληκώς (η), ὁ μὴ μετέχων ἐν τοῖς τῆς πόλεως (θ), ὁ τὸν Ἄρχοντα ἢ τὸν ὑπὸ τῆς πόλεως τιμηθέντα ὑβρίζων (ι), ὁ ἑταιρήσας (ια), ὁ ψευδομάρτυς (ιβ), ὁ

---

ἄτιμοι ἦσαν οἱ ὀφειλέται τοῦ δημοσίου, ὧν διήρκει ἡ ἀτιμία μέχρι τῆς ἐξοφλήσεως τοῦ χρέους. — Εἰς τὸν τρίτον τέλος βαθμὸν τῆς ἀτιμίας ὑπεβάλλοντο πλὴν ἄλλων, ἰδίᾳ οἱ ἀσκήσαντες γραφὴν κατά τινος, καὶ μὴ λαβόντες τὸ πέμπτον τῶν ψήφων τῶν δικαστῶν ὅτε ἐστεροῦντο τοῦ δικαιώματος νὰ ἀσκήσωσι γραφὴν καθ' οἱουδήποτε ἄλλου, ἐὰν δὲ ἐπρόκειτο περὶ γραφῆς εὐσεβείας, εἰς ἣν ἡττήθησαν, δὲν ἠδύναντο εἰς τὸ ἐφεξῆς νὰ ἐπισκέπτωνται τοὺς ναοὺς (*Ἀνδοκίδ. Περὶ μυστηρ. 71. Αἰσχίν. Τιμάρχου 28 ἐπ.*). — Ὃς ἂν ἄρχων ἢ ἰδιώτης αἴτιος ᾖ τὸν θεσμὸν συγχυθῆναι τόνδε, ἢ μεταποιήσῃ αὐτόν, ἄτιμον εἶναι καὶ παῖδας καὶ τὰ ἐκείνου (*Δημοσθ. Ἀριστοκρ. 62 σελ. 640*) (α). Ὁ τοὺς γονέας τύπτων ἢ μὴ τρέφων ἢ μὴ παρέχων οἴκησιν, καὶ τὰ ἐπιτήδεια ἄτιμος ἔστω.—Ἐὰν δέ τις ἀπαχθῇ τῶν γονέων κακώσεως ἡλωκὼς ἢ ἀστρατείας, ἢ προειρημένον αὐτῷ τῶν νόμων εἴργεσθαι εἰσιὼν ὅποι μὴ χρή, δησάντων αὐτὸν οἱ ἕνδεκα καὶ εἰσαγόντων αὐτὸν εἰς τὴν ἡλιαίαν, κατηγορείτω δὲ ὁ βουλόμενος οἷς ἔξεστιν. ἐὰν δὲ ἁλῷ, τιμάτω ἡ ἡλιαία ὅ τι χρὴ παθεῖν αὐτὸν ἢ ἀποτῖσαι. ἐὰν δ' ἀργυρίου τιμηθῇ, δεδέσθω ἕως ἂν ἐκτίσῃ. (*Νόμοι τοῦ Σόλωνος ἐν Δημοσθ. Τιμοκρ. 105 σελ. 733, καὶ 103 σελ. 732, Ἀνδοκίδ. Περὶ μυστηρ. 74, κλπ.*). Κελεύει γὰρ τρέφειν τοὺς γονέας· γονεῖς δ' εἰσὶ μήτηρ καὶ πατὴρ καὶ πάππος καὶ τήθη καὶ τούτων μήτηρ καὶ πατήρ, ἐὰν ἔτι ζῶσιν· ἐκεῖνοι γὰρ ἀρχὴ τοῦ γένους ἐστί, καὶ τὰ ἐκείνων παραδίδοται τοῖς ἐγγόνοις (*Ἰσαίου - Κίρωνος κλήρου 32*). — Ταὐτὸν καὶ παρὰ Ρωμαίοις, ταῖς χρείαις τῶν γονέων τοὺς παῖδας βοηθεῖν δίκαιόν ἐστι (Κώδ. Ε. 25, ν. 5. Π. 25.3), γονεῖς δὲ θεωρητέοι μόνον ὁ πατὴρ καὶ ἡ μήτηρ κατὰ τὴν γνώμην τοῦ Παύλου (β). — Οἱ μὲν ἀργύριον ὀφείλοντες τῷ δημοσίῳ, ὁπόσοι εὐθύνας ὦφλον ἄρξαντες ἀρχάς, ἢ ἐξούλας ἢ γραφὰς ἢ ἐπιβολὰς ὦφλον, ἢ ὠνὰς πριάμενοι ἐκ τοῦ δημοσίου μὴ κατέβαλον τὰ χρήματα, ἢ ἐγγύας ἐγγυησάμενοι πρὸς τὸ δημόσιον (*Ἀνδοκίδ. 73*) (γ). — Ὁ τὰ πατρῷα κατεδηδοκώς, ἢ ὧν κληρονόμος γένηται, ἄτιμος ἔστω (δ). — Ἴδε ἀνωτέρω θέμα 13 (ε). — Ἐπειδὰν δ' ἕλῃ τὸν μοιχόν, μὴ ἐξέστω τῷ ἑλόντι συνοικεῖν τῇ γυναικί· ἐὰν δὲ συνοικῇ, ἄτιμος ἔστω (*Δημοσθ. Νεαίρας 87, σελ. 1374, κ.λπ.*). — Κατὰ τὸν ρωμ. νόμον, ἔγκλημα προαγωγείας διαπράττουσιν, ὅσοι τὴν συλληφθεῖσαν ἐν μοιχείᾳ σύζυγον διατηροῦσι (ν. 2 Κ. 9.9.).—Ὃς ἀπολελυμένην γαμήσῃ μοιχᾶται (*Εὐαγγ. Ματθαίου 5, στίχ. 32 καὶ κεφ. 19 στιχ. 9*) (στ). — Ἴδε θέμα 88 (ζ). — Ὁ τὰς στρατείας μὴ ἐστρατευμένος, ἢ ὁ τὴν ἀσπίδα ἀποβεβληκὼς (*Αἰσχίν. Τιμάρχ. 29, Ἀνδοκίδ. Περὶ μυστηρ. 74, Λυσίου - Θεομν. 1, κ.λπ.*) (η). — Ἴδε ἀνωτέρω θέμα 15 (θ). — Ἐὰν θεσμοθέτην ἢ Ἄρχοντα ἐστεφανωμένον, ἢ τινα τούτων, οἷς ἂν ἡ πόλις τινὰ ἄδειαν ἢ στεφανηφορίαν ἢ τινα τιμὴν δῷ, ὑβρίσῃ τις ἢ πατάξῃ ἢ κακῶς εἴπῃ, ἄτιμος ἔστω καθάπαξ. (*Δημοσθ. Μειδίου 32, σελ. 524*) (ι). — Ἴδε κατωτέρω θέμα 311 (*Αἰσχίν. Τιμάρχ. 21*) (ια). — Ἡ τρὶς ψευδομαρτυριῶν ἢ τρὶς ψευδοκλητείας ὄφλοιεν (*Ἀνδοκίδ. 74, κ.λπ.*) (ιβ).—Ἐάν τις Ἀθηναίων λαμβάνῃ παρά τινος, ἢ αὐτὸς διδῷ ἑτέρῳ, ἢ διαφθείρῃ τινὰς ἐπαγγελλόμενος ἐπὶ βλάβῃ τοῦ δήμου, καί τινος πολιτῶν τρόπῳ, ἢ μηχανῇ ἡτινιοῦν, ἄτιμος ἔστω, καὶ παῖδες καὶ τὰ ἐκείνου (*Δημοσθ. Μειδίου 113 σελ. 551, Ἀνδοκίδ. Περὶ μυστηρ. 74, κ.λπ.*) (ιγ). — Ἴδε θέμα κατωτέρω 477 (ιδ). — Διότι οὐδὲν δεινότερον τῆς συκοφαντίας, δι' ἧς πᾶς ὁ τῆς πόλεως καὶ τῶν νόμων κόσμος συνταράττεται καὶ διαφθείρεται (*Δημοσθ. Ἀριστογ. 19, 20, κ.λπ.*). — Ἴδε κατωτέρω θέμα 296 (ιε).

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

ἐπὶ βλάβῃ τοῦ δήμου διαφθείρων (ιγ), ὁ μὴ ἐξοφλῶν χρέος πρὸς τὸ δημόσιον (ιδ), ὁ συκοφάντης (ιε) καὶ ἄλλοι.

76. Ὅσοι ἄτιμοι ἦσαν πρὶν ἢ Σόλωνα ἄρξαι, ἐπιτίμους εἶναι, πλὴν ὅσοι ἐξ Ἀρείου Πάγου, ἢ ὅσοι ἐκ τῶν Ἐφετῶν, ἢ ἐκ Πρυτανείου καταδικασθέντες ὑπὸ τῶν βασιλέων ἐπὶ φόνῳ ἢ σφαγαῖς, ἢ ἐπὶ τυραννίδι ἔφυγον, ὅτε ὁ θεσμὸς ἐφάνη ὅδε.

77. Μηδὲ περὶ τῶν ἀτίμων, ὅπως χρὴ ἐπιτίμους αὐτοὺς εἶναι, μηδὲ περὶ τῶν ὀφειλόντων τοῖς θεοῖς ἢ τῷ δημοσίῳ τῶν Ἀθηναίων περὶ ἀφέσεως τοῦ ὀφλήματος ἢ τάξεως, ἐὰν μὴ ψηφισαμένων Ἀθηναίων τὴν ἄδειαν πρῶτον μὴ ἔλαττον ἑξακισχιλίων, οἷς ἂν δόξῃ κρύβδην ψηφιζομένοις. τότε δ' ἐξεῖναι χρηματίζειν καθ' ὅ τι ἂν τῇ βουλῇ καὶ τῷ δήμῳ δοκῇ. — Ἐάν δέ τις ἱκετεύῃ ἐν τῇ βουλῇ ἢ ἐν τῷ δήμῳ περὶ ὧν δικαστήριον ἢ ἡ βουλὴ ἢ ὁ δῆμος κατέγνω, ἐὰν μὲν αὐτὸς ὀφλὼν ἱκετεύῃ πρὶν ἐκτῖσαι, ἔνδειξιν εἶναι αὐτοῦ, καθάπερ ἐάν τις ὀφείλων τῷ δημοσίῳ ἡλιάζηται· ἐὰν δ' ἄλλος ὑπὲρ τοῦ ὠφληκότος ἱκετεύῃ πρὶν ἐκτῖσαι, δημοσία ἔστω αὐτοῦ ἡ οὐσία ἅπασα. ἐὰν δέ τις τῶν προέδρων δῷ τινὶ τὴν ἐπιχειροτονίαν ἢ αὐτῷ τῷ ὠφληκότι ἢ ἄλλῳ ὑπὲρ ἐκείνου, πρὶν ἐκτῖσαι, ἄτιμος ἔστω.

78. *Νομικὰ πρόσωπα.* Ἐὰν δὲ δῆμος, ἢ φράτορες, ἢ ἱερῶν ὀργίων, ἢ ναῦται, ἢ σύσσιτοι, ἢ ὁμόταφοι, ἢ θιασῶται, ἢ ἐπὶ λείαν οἰχόμενοι, ἢ εἰς ἐμπορίαν, ὅ τι ἂν τούτων διαθῶνται πρὸς ἀλλήλους κύριον εἶναι, ἐὰν μὴ ἀπαγορεύσῃ δημόσια γράμματα.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

79. *Μέτρα καὶ σταθμά.* Νόμους δὲ χρῆσθαι Σόλωνος καὶ μέτροις καὶ σταθμοῖς.

80. *Νόμισμα.* Ἑκατὸν δραχμὰς τὴν μνᾶν εἶναι, πρότερον ἑβδομήκοντα καὶ τριῶν οὖσαν.

---

76. Διὰ τοῦ νόμου τούτου ἐδόθη ἀμνηστεία εἰς τοὺς καταδικασθέντας πρὸ τοῦ Σόλωνος εἰς ἀτιμίαν διὰ πολιτικὰ ἀδικήματα.

77. *Δημοσθ. Τιμοκρ. 45 σελ. 715 καὶ 50 σελ. 716.* — Οἱ ἄτιμοι ἠδύναντο νὰ ἀποκατασταθῶσι, ἐὰν ἀποφασίσῃ τοῦτο ἡ ἐκκλησία τοῦ δήμου, δι' ἑξακισχιλίων ψήφων. Ἀλλ' ἐὰν ὁ κηρυχθεὶς ἄτιμος, ἢ ὁ ὀφειλέτης, ἢ τρίτος τις ὑπὲρ αὐτῶν, προσφύγῃ εἰς τὸν δῆμον ἢ τὴν βουλὴν δι' ἱκεσίας, ὑπεβάλλοντο εἰς ποινάς, ὡς ἐπίσης καὶ ὁ Πρόεδρος, ὅστις ἐδέχθη τοιαύτην ἱκετήριον αἴτησιν. «Ἄλλος οὗτος νόμος, οὐκ ἐῶν περὶ τῶν ἀτίμων οὐδὲ τῶν ὀφειλόντων λέγειν οὐδὲ χρηματίζειν περὶ ἀφέσεως τῶν ὀφλημάτων οὐδὲ τάξεως, ἂν μὴ τῆς ἀδείας δοθείσης, καὶ ταύτης μὴ ἔλαττον ἢ ἑξακισχιλίων ψηφισαμένων» (*Δημοσθ. Τιμοκρ. 46 σελ. 715*). — Ὁ νόμος ὅλως ἀπεῖπε μήτ' αὐτῷ μήτε ἄλλῳ μηδενὶ μήθ' ἱκετεύειν μήτε λέγειν περὶ τῶν τοιούτων, ἀλλὰ ποιεῖν τὰ δίκαια σιγῇ (*Δημοσθ. αὐτόθι*).

78. Ὁ νόμος οὗτος περιελήφθη βραδύτερον ἐν τῇ Δωδεκαδέλτῳ τῶν Ρωμαίων μετηνέχθη δὲ ἀκολούθως, ἑλληνικαῖς λέξεσιν ἐν ν. 4 Πανδ. 47. 22. — Ἴδε καὶ Κ. 4. 59 καὶ ν. 20 Π. 34, 5.

79. *Νόμος Σόλωνος.* — Ἴδε ἀνωτέρω σημείωσιν θέματος 20.

80. Καὶ τὴν ἅμα τούτῳ γενομένην τῶν τε μέτρων ἐπαύξησιν καὶ τοῦ νομίσματος τιμήν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



81. *Χρόνος*. Κατὰ σελήνην ἄγουσι τὸν ἐνιαυτὸν (α). Τὴν τριακάδα, ἕνην καὶ νέαν ἐκάλεσε. Ὁ Ἥλιος ἐπὶ τῶν ὀρῶν, ἡ ἐσχάτη ὥρα ἔστω (β).

82. *Οἰκογενειακά*. *Γάμος*. Ἐπ' ἀρότῳ παίδων.

---

Ἑκατὸν γὰρ ἐποίησε δραχμῶν τὴν μνᾶν πρότερον ἑβδομήκοντα καὶ τριῶν οὖσαν· ὥστ' ἀριθμῷ μὲν ἴσον, δυνάμει δ' ἔλαττον ἀποδιδόντων ὠφελεῖσθαι μὲν τοὺς ἐκτίνοντας μεγάλα, μηδὲν δὲ βλάπτεσθαι τοὺς κομιζομένους (*Πλουτ. Σόλ. XV*).

81. Συνιδὼν δὲ τοῦ μηνὸς τὴν ἀνωμαλίαν καὶ τὴν κίνησιν τῆς σελήνης, οὔτε δυομένῳ τῷ ἡλίῳ πάντως οὔτ' ἀνίσχοντι συμφερομένην, ἀλλὰ πολλάκις τῆς αὐτῆς ἡμέρας καὶ καταλαμβάνουσαν καὶ παρερχομένην τὸν ἥλιον, αὐτὴν μὲν ἔταξε ταύτην ἕνην καὶ νέαν καλεῖσθαι, τὸ μὲν πρὸ συνόδου μόριον αὐτῆς τῷ παυομένῳ μηνί, τὸ δὲ λοιπὸν ἤδη τῷ ἀρχομένῳ προσήκειν ἡγούμενος· πρῶτος, ὡς ἔοικεν, ὀρθῶς ἀκούσας Ὁμήρου λέγοντος· «Τοῦ μὲν φθίνοντος μηνός, τοῦ δ' ἱσταμένοιο»· τὴν δ' ἐφεξῆς ἡμέραν νουμηνίαν ἐκάλεσε. Τὰς δ' ἀπ' εἰκάδος οὐ προστιθείς, ἀλλ' ἀφαιρῶν καὶ ἀναλύων, ὥσπερ τὰ φῶτα τῆς σελήνης ἑώρα, μέχρι τριακάδος ἠρίθμησε (*Πλουτ. Σόλ. XXV*). — Ἐντεῦθεν, Πρυτανεῖαι δ' ὁ τῶν ἡμερῶν ἀριθμός, δέκα ἐγένοντο κατ' ἐνιαυτόν, ὅ τι καὶ δέκα αἱ φυλαί, ἐκ πεντήκοντα ἑκάστη· ἐνιαυτὸν δὲ οἱ Ἀθηναῖοι τὸν Σεληνιακὸν ἦγον. — Ἐπέβαλλε δὲ ἑκάστη φυλὴ τῶν δέκα, τριάκοντα πέντε ἡμέρας, καὶ ἐπερίττευον ἐκ τοῦ Σεληνιακοῦ ἡμέραι τέτταρες, ἃς ἐπεμέριζον ταῖς πρώταις λαχούσαις τέσσαρσι φυλαῖς· καὶ τῶν μὲν τεσσάρων πρώτων ἑκάστη εἶχε πρυτανείαν, ἀπαρτιζομένην εἰς τριάκοντα ἓξ ἡμέρας, αἱ δὲ λοιπαὶ ἓξ ἀνὰ τριάκοντα πέντε (*Σουΐδας*). — Τὸ σεληνιακὸν ἔτος εἶχε 354 ἡμέρας, ἤτοι πρὸς συμπλήρωσιν τοῦ ἡλιακοῦ ἔτους ἀπῃτοῦντο ἕνδεκα ἡμέραι, αἵτινες κατὰ τριετίαν προστιθέμεναι ἀπετέλουν τὸν ἐμβόλιμον μῆνα ἐκ τριάκοντα τριῶν ἡμερῶν. Τῶν 354 ἡμερῶν τὰς 4 ἐκάλουν οἱ Ἀθηναῖοι ἀρχαιρεσίας, ἐν αἷς ἄναρχος ἡ Ἀττικὴ ἦν, ἐν ταύταις προεβάλλοντο τοὺς ἄρχοντας (*Δημοσθ. Ἀνδροτ. ὑπόθεσις*). — Ἀλλὰ κατ' ἄλλων γνώμην, ἐκτὸς τῶν 354 ἡμερῶν τοῦ ἡλιακοῦ ἔτους, καθ' ἃς διῴκουν αἱ δέκα φυλαὶ (*Ἀριστοτ. Ἀθην. Πολιτ. XLIII. 3*), ἐμεσολάβουν καὶ τέσσαρες εἰσέτι ἡμέραι, αἱ ἄπρακτοι, ἤτοι αἱ τῶν ἀρχαιρεσιῶν, ἐντεῦθεν πρὸς συμπλήρωσιν τοῦ ἡλιακοῦ ἔτους ἀπῃτοῦντο 7 καὶ 1/2 ἡμέραι, αἵτινες κατὰ τετραετίαν προστιθέμεναι ἀπετέλουν τὸν ἐμβόλιμον μῆνα. Ἴδε *Ἡσιόδ. Ἔργα καὶ Ἡμέραι, 765 ἐπ., Ὁμήρου Ὀδ. Κ. 14, Μ. 325, Ξ. 162, κ.λπ.* — Ἐν τῷ ρωμ. δικαίῳ, ἔνθα ἴσχυε τὸ ἡλιακὸν ἡμερολόγιον ἴδε ν. 98 Π. 50. 16, ν. 101 Π. 50. 17, κ.λπ. (α). — Ἡ διὰ τὰς δικαστικὰς προθεσμίας ἡμέρα ἤρχιζε τὴν ἀνατολὴν τοῦ ἡλίου καὶ ἐπερατοῦτο ἅμα τῇ δύσει αὐτοῦ. — Καὶ τριῶν ἡμερῶν αὐτῷ δοθεισῶν, τῇ πρώτῃ ἔπιε, καὶ οὐ προσέμεινε τῆς τρίτης ἡμέρας τὴν ἐσχάτην ὥραν παρατηρεῖν, ἡ ἐστὶν ἥλιος ἐπὶ τῶν ὀρῶν (*Στοβαῖος*) (β).

82. *Γάμος*. Τὴν γὰρ παρθένον ὁ ἀνὴρ συναπτόμενος γυναῖκα, τουτέστι γόνιμον ποιεῖ· διὸ καὶ παρ' Ἀθηναίοις ἡ συνάφεια ἡ κατὰ νόμον, ἐπ' ἀρότῳ παίδων, ἐλέγετο γενέσθαι (*Ἰσίδωρος Πηλουσιώτης*). — Παρὰ τοῖς Ἀθηναίοις ἐπιτακτικὴ ἐθεωρεῖτο ἡ ἀπόκτησις τέκνου ἄρρενος, ἀφ' ἑνὸς μὲν ὅπως διατηρήσῃ ἄσβεστον τὸ πῦρ τῆς οἰκογενειακῆς ἑστίας, ἀφ' ἑτέρου δὲ ὅπως τελῇ τὰ ὑπὲρ τῶν προγόνων ἐπιβαλλόμενα μνημόσυνα, τὰ *νομιζόμενα*, οὕτω δέ, ἵνα μὴν ἐξερημῶται ὁ οἶκος (Ἀρχιάδῃ γὰρ πρὸς ἀνδρῶν ἡμεῖς ἦμεν γένει ἐγγυτάτω, καὶ κατὰ τοῦτον τὸν νόμον ἀξιοῦντες τῆς ἐκείνου οὐσίας κληρονομεῖν καὶ τὸ γένος μὴ περιϊδεῖν ἐξερημωθὲν (*Δημοσθ. Λεωχ. 11 σελ. 1083*). — Ἕνεκα τῶν λόγων τούτων, καὶ δὴ διὰ τὴν περίπτωσιν τῆς μὴ ἀποκτήσεως ἄρρενος τέκνου ὑπὸ τοῦ εἰς γάμον συνερχομένου, ἐθεσπίσθησαν τὰ περὶ ἐπικλήρου, καὶ ἐδόθη μείζων ἐκτα-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

83. Τὸν ἄνδρα μιᾶς γυναικὸς τυχεῖν (α). Γαμεῖν ἀστὴν μίαν (β).

84. Ἐξεῖναι γαμεῖν τὰς ἐκ πατέρων ἀδελφάς.

85. Ἐπὶ ξένης μὴ ἐκδίδοσθαι ἀστὴν οὖσαν.

---

ὡς εἰς τὰς διατάξεις περὶ υἱοθεσίας. (*Ἰσαίου περὶ Ἀπολλοδ. κλήρου, 66, Πλάτων. Νομ. ΣΤ. 773, κ.λπ.*). — Ἡ σύμβασις τοῦ γάμου συνωμολογεῖτο μεταξὺ τοῦ γαμβροῦ καὶ τοῦ πατρὸς ἢ ἀδελφοῦ ἢ κυρίου τῆς νύμφης, τοῦτο δ' ἀπετέλει τὴν *ἐγγύησιν* τοῦ γάμου, καὶ καθίστα αὐτὴν *ἐγγυητήν*. Ἡ ἐπίκληρος ἐπεδικάζετο διὰ διαδικασίας. Τὸν γάμον ἀπηκολούθει ἡ ἐγγραφὴ εἰς τοὺς φράτορας τοῦ συζύγου καὶ ἡ ἐγγραφὴ τῆς συζύγου εἰς τὸ φρατορικὸν γραμματεῖον, ἡ ἐγγραφὴ αὕτη ἐκαλεῖτο *γαμηλία* (καὶ γαμηλίαν ὑπὲρ αὐτῆς τοῖς φράτερσιν εἰσενεγκεῖν καὶ εἰσαγαγεῖν τὴν ἐκ ταύτης ἀποφανθεῖσαν θυγατέρα ὡς γνησίαν οὖσαν αὐτῷ, *Ἰσαίου - Πύρρου 79*) καὶ ἡ ἑστίασις φίλων καὶ συγγενῶν (ὅτε γὰρ ὁ πατὴρ αὐτὴν ἐλάμβανε, γάμους εἱστίασε καὶ ἐκάλεσε τρεῖς αὐτοῦ φίλους μετὰ τῶν αὐτοῦ προσηκόντων *Ἰσαίου - Πύρρου 79, Κίρωνος 18, 20 κ.λπ.*). Ὁ ἄνευ ἐγγυήσεως γάμος ἐθεωρεῖτο ἄτακτος, καίτοι δὲν ἀπέκλειε τὰ τέκνα τῆς κληρονομίας, ἅτινα ὅμως δὲν ἐθεωροῦντο γνήσια (οὐ γὰρ ἐὰν εἴπῃ μητρὸς ὄνομα, γνήσιοί εἰσιν, ἀλλ' ἐὰν ἐπιδεικνύῃ ὡς ἀληθῆ λέγει, τοὺς συγγενεῖς παρεχόμενος τοὺς εἰδότας συνοικοῦσαν τῷ Εὐκτήμονι ⟨καὶ⟩ τοὺς δημότας καὶ φράτερας (*Ἰσαίου - Φιλοκτ. 64 κ.λπ.*).

83. Ἐν Ἀθήναις πρῶτος Κέκροψ μίαν ἐνὶ ἔζευξε (*Ἀθήναιος, ΙΓ*), καὶ πρῶτος μιᾷ γυναικὶ συνεζεύχθη, τῶν ἀνδρῶν, πρὸ τῶν χρόνων τούτων, μισγομένων ὡς ἔτυχε ταῖς γυναιξί. — Ἀλλ' ὕστερον, βουληθέντας Ἀθηναίους, διὰ τὸ λειπανδρεῖν, συναυξῆσαι τὸ πλῆθος, ψηφίσασθαι γαμεῖν μὲν ἀστὴν μίαν, παιδοποιεῖσθαι δὲ καὶ ἐξ ἑτέρας (*Ἱερώνυμος*) (α). — Γάμου δὲ ὅρον εἶναι κόρῃ μὲν ἐκκαίδεκα ἐτῶν εἰς εἴκοσι, τὸν μακρότατον χρόνον ἀφωρισμένον, κόρῳ δὲ ἀπὸ τριάκοντα μέχρι τῶν πέντε καὶ τριάκοντα (*Πλατων. Νόμ. ΣΤ. 785*). — Ἐπεὶ γὰρ ὥρισται τέλος τῆς γεννήσεως ὡς ἐπὶ τὸ πλεῖστον εἰπεῖν ἀνδράσι μὲν ὁ τῶν ἑβδομήκοντα ἐτῶν ἀριθμὸς ἔσχατος πεντήκοντα δὲ γυναιξί. . . τὰς μὲν ἁρμόττει περὶ τὴν τῶν ὀκτωκαίδεκα ἐτῶν ἡλικίαν συζευγνύναι, τοὺς δὲ ἑπτὰ καὶ τριάκοντα ἢ μικρὸν (*Ἀριστοτ. Πολιτ. VII, 14, σελ. 1334β*). — Ὁ γάμος ἐτελεῖτο συνήθως κατὰ τὸν μῆνα Γαμηλιῶνα (Ἰανουάριον), εὔλογον γὰρ ᾤοντο τότε σπείρειν, ὅτε καὶ ἡ γῆ ἀρδεύεται, ἐπιτήδειος γὰρ ὁ καιρὸς πρὸς καρποῦ γένεσιν (*Ὀλυμπ. εἰς Μετέωρα Ἀριστοτέλους*) (β).

84. Κατ' ἀντίθεσιν πρὸς τοὺς Λακεδαιμονίους, οἵτινες ἐπέτρεπον τὸν γάμον μεταξὺ τῶν ὁμοπατρίων ἀδελφῶν, ἀπηγόρευον δὲ τὸν μεταξὺ ὁμομητρίων, ὁ Σόλων ὁμοπατρίους ἀφιεὶς ἄγεσθαι, τὰς ὁμομητρίους ἐκώλυσε (*Φίλων*). — Ἴδε σημείωσιν 131 Νομοθεσίας Σπάρτης.

85. Ἀπηγορεύετο ὁ γάμος μετὰ ξένης. — Πέπρακε γὰρ αὐτὴν (τὴν ἀδελφήν), οὐκ ἐκδέδωκε. τῶν γὰρ ὑμετέρων ἐχθρῶν ἑνί, Κερκυραίῳ τινὶ τῶν νῦν ἐχόντων τὴν πόλιν, καταλύοντι παρ' αὐτῷ, ὅτε δεῦρο πρεσβεύοι, καὶ βουληθέντι λαβεῖν αὐτὴν (ἐξ οὗ δὲ τρόπου, παραλείψω) λαβὼν ἀργύριον δέδωκε· καὶ νῦν ἐστιν ἐν Κερκύρᾳ. ὃς οὖν τὴν μὲν ἀδελφὴν ἐπ' ἐξαγωγῇ ψησὶ μὲν ἐκδοῦναι, πέπρακε δὲ τῷ ἔργῳ (*Δημοσθ. Τιμοκρ. 202 σελ. 763*). — Θυγατριδῆν Ἀριστογείτονος ἐν Λήμνῳ πυθόμενοι ταπεινὰ πράττειν ἀνδρὸς ἀποροῦσαν διὰ πενίαν κατήγαγον Ἀθήναζε καὶ συνοικίσαντες ἀνδρὶ τῶν εὖ γεγονότων τὸ Ποταμοῖ χωρίον εἰς φερνὴν ἐπέδωκαν (*Πλουτ. Ἀριστείδ. XXVII*). — Ἐὰν δὲ ξένος ἀστῇ συνοικῇ τέχνῃ ἢ μηχανῇ ἡτινιοῦν, γραφέσθω πρὸς τοὺς θεσμοθέτας Ἀθηναίων, ὁ βουλόμενος, οἷς ἔξεστιν. ἐὰν δὲ ἁλῷ, πεπράσθω καὶ αὐτὸς καὶ ἡ οὐσία αὐτοῦ, καὶ τὸ τρίτον μέρος ἔστω τοῦ ἑλόντος. ἔστω δὲ καὶ ἐὰν ἡ ξένη τῷ ἀστῷ συνοικῇ κατὰ



Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



86. Ἐὰν δέ τις ἐκδιδῷ ξένην γυναῖκα ἀνδρὶ Ἀθηναίῳ ὡς ἑαυτῷ προσήκουσαν, ἄτιμος ἔστω, καὶ ἡ οὐσία αὐτοῦ δημοσία ἔστω, καὶ τοῦ ἑλόντος τὸ τρίτον μέρος. γραφέσθων δὲ πρὸς τοὺς θεσμοθέτας, οἷς ἔξεστι, καθάπερ τῆς ξενίας.

87. Τὴν γυναῖκα τοῦ Βασιλέως ἀστὴν εἶναι καὶ μὴ ἐπιμεμιγμένην ἑτέρῳ ἀνδρί, ἀλλὰ παρθένον γαμεῖν.

88. Τὸν βιασάμενον κόρην αὐτὴν γαμεῖν.

89. Χρῆσθαι δὲ δούλους συνουσίαις γυναικῶν.

90. Ἐ*πίκληρος*. Μὴ ἐξεῖναι ταῖς ἐπικλήροις ἔξω τῆς ἀγχιστείας γαμεῖν, ἀλλὰ προσῆκον εἶναι αὐταῖς μετὰ τῶν χρημάτων τῷ ἐγγύτατα γένους συνοικεῖν.

91. Ἐ*γγύησις*. Ἣν ἂν ἐγγυήσῃ ἐπὶ δικαίοις δάμαρτα εἶναι ἢ πατὴρ ἢ ἀδελ-

---

ταὐτά, καὶ ὁ συνοικῶν τῇ ξένῃ τῇ ἁλούσῃ ὀφειλέτω χιλίας δραχμάς. (*Δημοσθ. Νεαίρας 16, σελ. 1350*).

86. Γράφεται ὁ Φράστωρ Στέφανον ταυτηνὶ γραφὴν πρὸς τοὺς θεσμοθέτας, Ἀθηναῖον ὄντι ξένης θυγατέρα αὐτῷ ἐγγυῆσαι ὡς αὐτῷ προσήκουσαν (*Δημοσθ. Νεαίρας, 52 σελ. 1362*).

87. Τὴν δὲ γυναῖκα αὐτοῦ (τοῦ βασιλέως) νόμον ἔθεντο ἀστὴν εἶναι καὶ μὴ ἐπιμεμιγμένην ἑτέρῳ ἀνδρί, ἀλλὰ παρθένον γαμεῖν, ἵνα κατὰ τὰ πάτρια θύηται τὰ ἄρρητα ἱερὰ ὑπὲρ τῆς πόλεως καὶ τὰ νομιζόμενα γίγνηται τοῖς θεοῖς εὐσεβῶς καὶ μηδὲν καταλύηται μηδὲ καινοτομῆται. καὶ τοῦτον τὸν νόμον γράψαντες ἐν στήλῃ λιθίνῃ ἔστησαν ἐν τῷ ἱερῷ τοῦ Διονύσου παρὰ τὸν βωμὸν ἐν Λίμναις, μαρτυρίαν ποιούμενος ὁ δῆμος ὑπὲρ τῆς αὑτοῦ εὐσεβείας πρὸς τὸν θεὸν καὶ παρακαταθήκην καταλείπων τοῖς ἐπιγιγνομένοις, ὅτι τήν γε θεῷ γυναῖκα ὀφθησομένην καὶ ποιήσουσαν τὰ ἱερὰ τοιαύτην ἀξιοῦμεν εἶναι (*Δημοσθ. Νεαίρας 75 σελ. 1370*). — *Ὅρκος γεραρῶν*. Ἁγιστεύω καὶ εἰμὶ καθαρὰ καὶ ἁγνὴ ἀπὸ τῶν ἄλλων τῶν οὐ καθαρευόντων καὶ ἀπ' ἀνδρὸς συνουσίας, καὶ τὰ θεοίνια καὶ τὰ ἰοβάκχεια γεραρῶ τῷ Διονύσῳ κατὰ τὰ πάτρια καὶ ἐν τοῖς καθήκουσι χρόνοις (*Δημοσθ. Νεαίρας 78*).

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

88. Νόμος τὸν ἐξιόντα στρατηγὸν εἰς πόλεμον, εἰ ἔχει θυγατέρα, παρατίθεσθαι τῷ συστρατήγῳ αὐτήν, τὴν θυγατέρα λαβὼν ἐκεῖνος ἐβιάσατο. Ἐπανελθὼν ὁ στρατηγὸς κρίνει αὐτὸν ὡς δημοσίων ἀδικημάτων, ὁ δὲ ὡς βιασάμενος τὰς χιλίας διδόναι (*Συριανὸς εἰς Ἑρμογένην*).

89. Οἱ δοῦλοι ἠδύναντο νὰ συζῶσι μετὰ γυναικὸς ἄνευ νομίμου γάμου. — Συνῴκησε δὲ ἀνδρί, ἐπειδὴ ἀφείθη ἐλευθέρα (*Δημοσθ. Εὐεργ. Μνησίβ. 55 σελ. 1156*).

90. Ἐπίκληρος ἐκαλεῖτο ἡ στερουμένη ἀρρένων ἀδελφῶν, ὑπεχρεοῦτο δὲ αὕτη νὰ συζευχθῇ μετὰ τοῦ ἐκ πατρὸς στενωτέρου συγγενοῦς της (*Ἰσαίου - Ἀρισταρχ., 4*). — Καὶ ἡ τυχὸν ὕπανδρος, καθισταμένη ἐπίκληρος διὰ τοῦ θανάτου τοῦ πατρός της, ἠδύνατο νὰ διαζευχθῇ τὸν σύζυγόν της καὶ νὰ λάβῃ ὡς σύζυγον τὸν ἐγγύτερον συγγενῆ της, τὸ δικαίωμα τοῦτο παρείχετο καὶ εἰς τοὺς συνεζευγμένους ἄνδρας (*Δημοσθ. Εὐβουλ. 40, σελ. 1311, Ἰσαίου - Πύρρου 78*). — Ἐὰν συνέτρεχον πλείονες ἐπίκληροι διεμοιράζοντο τὴν περιουσίαν ἐξ ἴσου, καὶ ἑκάστη τούτων συνεζεύγνυτο ἀνὰ ἕνα συγγενῆ (ἀπέθανεν ἐν Σικελίᾳ ἄπαις ἀρρένων παίδων, θυγατέρας δὲ δύο καταλιπών, αἳ ἐγίγνοντο εἴς τε ἐμὲ καὶ τὸν Λέαγρον (*Ἀνδοκίδ. Περὶ μυστηρ. 118, κ.λπ.*).

91. Ἐ*γγύησις*. Αὕτη ἀπετέλει στοιχεῖον ἀπαραίτητον ὅπως καὶ ὁ γάμος εἶναι ἰσχυρός,

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



πρὸς ὁμοπάτωρ, ἢ πάππος ὁ πρὸς πατρός, ἐκ ταύτης εἶναι παῖδας γνησίους. ἐὰν δὲ μηδεὶς ᾖ τούτων, ἐὰν μὲν ἐπίκληρός τις ᾖ, τὸν κύριον ἔχειν, ἐὰν δὲ μὴ ᾖ, ὅτῳ ἂν ἐπιτρέψῃ, τοῦτον κύριον εἶναι.

92. Τὴν νύμφην τῷ νυμφίῳ συγκατακλινομένην, μήλου κυδωνίου κατατραγεῖν, καὶ τρὶς ἑκάστου μηνὸς αὐτὸν ἐκείνῃ ἐντεύξεσθαι.

93. Τρὶς ἑκάστου μηνὸς ἐντυγχάνειν πάντως τῇ ἐπικλήρῳ τὸν λαβόντα.

94. Τὰς νύμφας ἰούσας ἐπὶ τὸν γάμον φρύγετρον φέρειν σημεῖον.

95. Κληροῦν δὲ τὸν ἄρχοντα κλήρων καὶ ἐπικλήρων, ὅσοι εἰσὶ μῆνες, πλὴν τοῦ σκιροφοριῶνος. ἀνεπίδικον δὲ κλῆρον μὴ ἔχειν.

---

καὶ τὰ ἐξ αὐτοῦ τέκνα γνήσια. Κατὰ τὸν νόμον τοῦτον ἠδύνατο νὰ ἐγγυηθῇ τὸν γάμον κόρης, ἢ ὁ πατήρ, ἢ ὁ ὁμοπάτριος ἀδελφὸς ἢ ὁ πατρικὸς πάππος. (*Δημοσθ. Στεφάν. Β'. 18, σελ. 1134*). — Γάμους ἑστιᾶν καὶ γαμηλίαν εἰσενεγκεῖν (*Ἰσαίου - Κίρων. 20*).

92. Ὁ Σόλων ἐκέλευε τὴν νύμφην τῷ νυμφίῳ συγκατακλίνεσθαι μήλου κυδωνίου κατατραγοῦσαν, αἰνιττόμενος (ὡς ἔοικεν), ὅτι δεῖ τὴν ἀπὸ στόματος καὶ φωνῆς χάριν εὐάρμοστον εἶναι καὶ ἡδεῖαν (*Πλουτ. Γαμικὰ Παραγγέλματα Ι έπ.*). — Συνήθως καὶ ἐν εἰς τοὺς λαοὺς τῆς Ἀφρικῆς, τὰ στόματα τῶν ἀνθρώπων ἀποπνέουσι δυσοσμίαν, διὸ ὁ εὐαγγελιστὴς Ματθαῖος, λέγει, ὅτι δὲν μολύνει τὸν ἄνθρωπον τὸ εἰσερχόμενον εἰς τὸ στόμα, ἀλλὰ τὸ ἐξερχόμενον ἐξ αὐτοῦ (κεφ. 15, 10). — Ἴδε ἑπομένην σημείωσιν.

93. Ἐὰν ὁ σύζυγος δὲν ἐξεπλήρου τὰς γαμικὰς ὑποχρεώσεις τουλάχιστον τρὶς τοῦ μηνός, ἡ σύζυγος ἠδύνατο ν' ἀσκήσῃ τὴν δίκην καρπώσεως ἢ κακώσεως (*Πλουτ. Σόλ. 20*). — Καὶ οὐκ ⟨ἂν⟩ εἰσήγγελες πρὸς τὸν ἄρχοντα κακοῦσθαι τὴν ἐπίκληρον ὑπὸ τοῦ εἰσποιήτου οὕτως ὑβριζομένην καὶ ἄκληρον τῶν ἑαυτῆς πατρῴων καθισταμένην, ἄλλως τε καὶ μόνων τούτων τῶν δικῶν ἀκινδύνων τοῖς διώκουσιν οὐσῶν καὶ ἐξὸν τῷ βουλομένῳ βοηθεῖν τοῖς ἐπικλήροις; οὔτε γὰρ ἐπιτίμιον ταῖς πρὸς τὸν ἄρχοντα εἰσαγγελίαις ἔπεστιν, οὐδὲ ἐὰν μηδεμίαν τῶν ψήφων οἱ εἰσαγγείλαντες μεταλάβωσιν, οὔτε πρυτανεῖα οὔτε παράστασις οὐδεμία τίθεται τῶν εἰσαγγελιῶν· ἀλλὰ τοῖς μὲν διώκουσιν ἀκινδύνως εἰσαγγέλλειν ἔξεστι, τῷ βουλομένῳ, τοῖς δ' ἁλισκομένοις ⟨αἱ⟩ ἔσχαται τιμωρίαι ἐπὶ ταῖς εἰσαγγελίαις ἔπεισιν (*Ἰσαίου - Πύρρου, 46*). — Ἤτοι αἱ δίκαι αὗται ἦσαν ἀπηλλαγμέναι πάσης δικαστικῆς δαπάνης, τῆς ὑποχρεώσεως ὅπως αἱ δίκαι αὗται μεταλάβωσι τὸ πέμπτον τῶν ψήφων τῶν δικαστῶν, καὶ τῶν περιορισμῶν τῆς κλεψύδρας.

94. Νόμος τοῦ Σόλωνος, Φρύγετρον, ᾧ τὰς κέγχρους ἔφρυγον (*Πολυδ. 10, 109*). — Τὸ φρύγετρον τοῦτο, μεταβαίνουσαι εἰς τὸν οἶκον τοῦ συζύγου των, ἐκράτουν αἱ νύμφαι, εἰς ἔνδειξιν ὅτι ἐγνώριζον τὴν οἰκογενειακὴν οἰκονομίαν.

95. Ἡ διεκδίκησις ἐπικλήρου ἢ κληρονομίας ἐγένετο κατὰ πᾶσαν ἐποχήν, ἐξαιρέσει τοῦ μηνὸς Σκιροφοριῶνος (Αὐγούστου, τελευταίου μηνὸς τοῦ ἔτους), διότι κατὰ τὴν ἐποχὴν ἐκείνην ἡ πολιτεία ἦτο ἀπησχολημένη εἰς τὰς μεταβολὰς τῶν ἀρχῶν. Πάντως δὲν ἠδύναντο αἱ ἀμφισβητήσεις τῆς κληρονομίας καὶ τῆς ἐπικλήρου νὰ λυθοῦν ἄνευ δικαστικῆς ἀποφάσεως. — Νόμος κελεύει ἐπιδικασίαν εἶναι τῶν ἐπικλήρων ἁπασῶν, καὶ ξένων καὶ ἀστῶν, καὶ περὶ μὲν τῶν πολιτῶν τὸν ἄρχοντα εἰσάγειν καὶ ἐπιμελεῖσθαι, περὶ δὲ τῶν μετοίκων τὸν πολέμαρχον, καὶ ἀνεπίδικον μὴ ἐξεῖναι ἔχειν μήτε κλῆρον μήτε ἐπίκληρον (*Δημοσθ. Στεφάνου Β'. 22 σελ. 1135*).

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



96. Τὴν ἐπίκληρον, ἂν ὁ κρατῶν καὶ κύριος γεγονὼς κατὰ τὸν νόμον αὐτὸς μὴ δυνατὸς ᾖ πλησιάζειν, ὑπὸ τῶν ἔγγιστα τοῦ ἀνδρὸς ὀπυίεσθαι.

97. Ἐάν τις μὴ δυνάμενος συνεῖναι, χρημάτων δ' ἕνεκα λαμβάνων ἐπίκληρον, καὶ τῷ νόμῳ καταβιαζόμενος τὴν φύσιν, φιλοπλουτίας καὶ ὕβρεως δίκην δοῦναι.

98. Ἐὰν δὲ ἐπιδεδικασμένου ἀμφισβητῇ τοῦ κλήρου ἢ τῆς ἐπικλήρου, προσκαλείσθω τὸν ἐπιδεδικασμένον πρὸς τὸν Ἄρχοντα, καθάπερ ἐπὶ τῶν ἄλλων δικῶν. Προκαταβολὰς δὲ εἶναι τῷ ἀμφισβητοῦντι. Ἐὰν δὲ μὴ προσκαλεσάμενος ἐπιδικάσηται, ἀτελὴς ἔσται ἡ ἐπιδικασία τοῦ κλήρου. Ἐὰν δὲ μὴ ζῇ ὁ ἐπιδικασάμενος τοῦ κλήρου, προσκαλείσθω κατὰ ταῦτα ᾧ προθεσμία μήπω ἐξῆκε. Τὴν δ' ἀμφισβήτησιν εἶναι τῷ Ἄρχοντι, καθότι ἐπεδικάσατο οὗ ἂν ἔχῃ τὰ χρήματα.

99. *Προίξ*. Ἱμάτια τρία, καὶ σκεύη μικροῦ νομίσματος ἄξια, ἕτερον δὲ μηδὲν ἐπιφέρεσθαι τὴν γαμουμένην τὰς φερνάς.

---

96. Κατὰ τὴν διάταξιν ταύτην, ἐὰν ὁ σύζυγος τῆς ἐπικλήρου ἦτο ἀνίκανος νὰ συνέρχηται μετὰ τῆς συζύγου του, ἢ νὰ τεκνοποιήσῃ μετ' αὐτῆς, ἠδύνατο αὕτη νὰ συνέρχηται μετὰ τοῦ πλησιεστέρου συγγενοῦς τοῦ συζύγου της. — Ἄτοπος δὲ καὶ γελοῖος δοκεῖ ὁ νόμος οὗτος. ... Εὖ δ' ἔχει καὶ τὸ μὴ πᾶσιν, ἀλλὰ τῶν συγγενῶν τοῦ ἀνδρὸς ᾧ βούλεται διαλέγεσθαι τὴν ἐπίκληρον, ὅπως οἰκεῖον ᾖ καὶ μετέχον τοῦ γένους τὸ τικτόμενον. (*Πλουτ. Σόλ. XX*). — Ἴδε *Δευτερονόμιον 25. 5.*

97. *Πλουτ. Σόλων XX.* Ἀντιθέτους πρὸς τὴν φύσιν ὀνομάζει τοὺς γάμους, τοὺς συναπτομένους οὐχὶ πρὸς ἀπόκτησιν τέκνων, ἀλλὰ χάριν τοῦ πλούτου. — Ἴδε ν. 1 § 3 Π. 1. 1. καὶ ἐν Βασ. 2.1.1.

98. Ἐὰν ἐπεδικάσθη κληρονομία ἢ κλῆρος ὑπέρ τινος, ὁ ἀμφισβητῶν τινὰ ἐκ τούτων, δύναται νὰ ἐναγάγῃ ἐνώπιον τοῦ Ἄρχοντος, τὸν ὑπὲρ οὗ ἐγένετο ἡ προσκύρωσις, κατὰ τὴν διαδικασίαν τῶν λοιπῶν δικῶν, ἀλλ' ὑπὸ τὸν ὅρον νὰ προκαταβάλῃ τὴν παρακαταβολήν, ἧς ἄνευ καθίσταται ἀπαράδεκτος ἡ δίκη. Τὴν ἀγωγὴν αὐτὴν δύναται νὰ ἀσκήσῃ καὶ κατὰ τοῦ κληρονόμου τοῦ ὑπὲρ οὗ ἐγένετο ἡ προσκύρωσις, ἐφ' ὅσον δὲν παρῆλθεν ἡ νόμιμος προθεσμία. Ὁ Ἄρχων θὰ δικάσῃ καθ' ὃν τρόπον ἐπεδίκασε τὴν ἀρχικὴν ἀγωγήν, τοῦ ὑπὲρ οὗ ἡ πρώτη ἐπιδίκασις. — Παρακαταβολὴ ἦν ἐπὶ μὲν τῶν πρὸς τὸ δημόσιον ἀμφισβητημάτων τὸ πέμπτον, ἐπὶ δὲ τῶν ἰδιωτικῶν τὸ δέκατον (*Πολυδ. Η. 39*). —

99. Οὐ γὰρ ἐβούλετο μισθοφόρον οὐδ' ὤνιον εἶναι τὸν γάμον, ἀλλ' ἐπὶ τεκνώσει καὶ χάριτι καὶ φιλότητι γίνεσθαι τοῦ ἀνδρὸς καὶ γυναικὸς συνοικισμὸν (*Πλουτ. Σόλ. XX*). — Ὁ περιορισμὸς οὗτος τῆς προικὸς πιθανὸν νὰ ἀφεώρα τὸν προικῷον ἱματισμόν, πάντως ὅμως ἦτο συμβουλευτικὸς καὶ οὐχὶ ἐπιτακτικός, οὐδέποτε ἴσχυσε, οὔτε ἠδύνατο νὰ ἰσχύσῃ, διότι ἀφ' ἑνὸς μὲν ἀνεκούφιζε τὰ ἐκ τοῦ γάμου βάρη, καὶ ἀφ' ἑτέρου καθίστα τὴν σύζυγον ἴσην πρὸς τὸν σύζυγον. Ἀναφέρεται μάλιστα, ὅτι ἡ ὕπαρξις προικὸς ἀπετέλει διακριτικὴν κατάστασιν μεταξὺ προικιζομένης συζύγου καὶ ἀπροίκου παλλακῆς, καὶ ἐνίοτε ἡ ἀνυπαρξία προικὸς ἠδύνατο νὰ παράσχῃ τεκμήριον περὶ μὴ νομιμότητος τοῦ γάμου (*Ἰσαίου-Περὶ Πύρρου κλήρου, 8, 39, κ.λπ., Δημοσθ. Πρὸς Βοιωτὸν περὶ προικός*). — Κατὰ ταῦτα ὁ ἐμφανιζόμενος περιορισμὸς τοῦ Σόλωνος δὲν ἐσκόπει νὰ ἀπαγορεύσῃ τὴν σύστασιν προικός, ὡς ἄλλως προκύπτει ἔκ τε τῆς ἀκολούθου διατάξεως, δι' ἧς, οἱ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



100. *Θῆσσα ἐπίκληρος.* Τῶν ἐπικλήρων ὅσαι θητικὸν τελοῦσιν, ἐὰν μὴ βούληται ἔχειν ὁ ἐγγύτατα γένους, ἐκδιδότω ἐπιδοὺς ὁ μὲν πεντακοσιομέδιμνος πεντακοσίας δραχμάς, ὁ δ' ἱππεὺς τριακοσίας, ὁ δὲ ζευγίτης ἑκατὸν πεντήκοντα, πρὸς οἷς αὐτῆς. ἐὰν δὲ πλείους ὦσιν ἐν τῷ αὐτῷ γένει, τῇ ἐπικλήρῳ πρὸς μέρος ἐπιδιδόναι ἕκαστον, ἐὰν δ' αἱ γυναῖκες πλείους ὦσι, μὴ ἐπάναγκες εἶναι πλέον ἢ μίαν ἐκδοῦναι τῷ γένει, ἀλλὰ τὸν ἐγγύτατα δεῖ ἐκδιδόναι ἢ αὐτὸν ἔχειν. ἐὰν δὲ μὴ ἔχῃ ὁ ἐγγυτάτω γένους ἢ μὴ ἐκδῷ, ὁ ἄρχων ἐπαναγκαζέτω ἢ αὐτὸν ἔχειν ἢ ἐκδοῦναι. ἐὰν δὲ μὴ ἐπαναγκάσῃ ὁ ἄρχων, ὀφειλέτω χιλίας δραχμὰς ἱερὰς τῇ Ἥρᾳ. ἀπογραφέτω δὲ τὸν μὴ ποιοῦντα ταῦτα ὁ βουλόμενος πρὸς τὸν ἄρχοντα.

101. Τὴν ὁμολογηθεῖσαν προῖκα γίνεσθαι εἰς τὸν ἐγγυήσαντα, εἴ τι ἔπαθεν ἡ γυνὴ πρὶν γενέσθαι παῖδας αὐτῇ.

---

ἀποκρούοντες νὰ συζευχθῶσι θῆσσαν ἐπίκληρον συγγενεῖς, ὤφειλον νὰ προικίσωσιν αὐτήν, καὶ ἐκ χωρίων τῶν ῥητόρων, καθ' ἃ ἡ μὴ σύστασις προικὸς δὲν ἠδύνατο νὰ θέσῃ ἐν ἀμφιβόλῳ τὸ κῦρος τοῦ γάμου τῆς ἀπροίκου (*Ἰσαίου - Μενεκλ. 5, Δημοσθ. - Βοιωτοῦ 11.20*). — Ἐκεῖνος γὰρ ὅτ' ἦν ἐν τῇ ἡλικίᾳ, παρὸν μετὰ πολλῶν χρημάτων γῆμαι ἄλλην, τὴν ἐμὴν μητέρα ἔλαβεν οὐδὲν ἐπιφερομένην, κ.λπ. (*Λυσίου - Ἀριστοφαν. 14, 15*).

*Πάντων δ' ὅσ' ἔστ' ἔμψυχα*
*καὶ γνώμην ἔχει*
*γυναῖκες ἐσμεν*
*ἀθλιώτατον φυτόν·*
*ἃς πρῶτα μὲν δεῖ*
*χρημάτων ὑπερβολῇ*
*πόσιν πρίασθαι δεσπότην τε*
*σώματος λαβεῖν (Εὐριπίδ. Μήδεια, 230).*

Κατὰ τὸ ῥωμ. δίκαιον, ἐξηναγκάζοντο οἱ ἀρνούμενοι γονεῖς νὰ συστήσωσι προῖκα εἰς τὰς θυγατέρας των (ν. 19. Π. 23. 2). — Συνήθως οἱ σύζυγοι παρεῖχον ἀσφάλειαν εἰς τοὺς συστήσαντας τὴν προῖκα, *ἀποτίμημα* καλουμένην (εἰώθασι δὲ τότε, αὐτὴν αἰτεῖν παρὰ τοῦ ἀνδρός, ὥσπερ ἐνέχυρόν τι τῆς προικὸς ἄξιον, *Ἁρποκρ. Προίξ, Δημοσθ. Ὀνήτορ. Α. 20 σελ. 866*). — Ἴδε καὶ *Πλάτων. Νόμοι* ΣΤ'.

100. *Δημοσθ. Μακάρτ. 54, σελ. 1067.* — Τὴν ὀρφανήν, τὴν στερουμένην περιουσίας (θῆσσαν) ὀφείλει ἐπίσης νὰ συζευχθῇ ὁ ἐγγύτερος συγγενής της, ἢ ἄλλως νὰ προικίσῃ αὐτὴν διὰ τοῦ ὁριζομένου ποσοῦ, ἐὰν ἡ θῆσσα ἔχει πλείονας συγγενεῖς, ἕκαστος τούτων συμμέτρως συνεισφέρει διὰ τὴν προῖκά της, ἐὰν ὑπάρχωσι πλείονες ὀρφαναί, ὁ ἐγγύτερος συγγενὴς ὀφείλει νὰ νυμφευθῇ ἢ νὰ προικίσῃ μίαν μόνην. Τιμωροῦνται οἱ ἀρνούμενοι νὰ συμμορφωθῶσι πρὸς τὴν παροῦσαν διάταξιν, καὶ δύνανται νὰ καταμηνυθῶσι παρὰ παντὸς πολίτου.

101. Ἐὰν ἡ γυνὴ ἀποθάνῃ ἄτεκνος, ἡ προὶξ ἐπιστρέφει εἰς τὸν συστήσαντα τὴν προῖκα.— Εἶτα παρ' ὅτου ἐκομίσατο τὴν προῖκα οὗτος, ἐπειδὴ τετελευτηκὼς ἦν (*Ἰσαίου - Πύρρου, 78, Ἰσαίου - Κίρωνος 8, κ.λπ.*). — Καὶ ταῦτα εἰδὼς τὸν ἅπαντα χρόνον ἄτοκον οὖσαν αὐτήν, καὶ τῆς ὁμολογηθείσης προικὸς ἐκ τῶν νόμων γιγνομένης εἰς αὐτόν, εἴ τι ἔπαθεν ἡ γυνὴ πρὶν γενέσθαι παῖδας αὐτῇ (*Ἰσαίου - Πύρρου, 36*). — Αἱ περὶ προικὸς δίκαι ἦσαν ἔμμηνοι (*Πολυδ. Η. 63, 101*).

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



102. Ἐὰν ἀπολίπῃ ἡ γυνὴ τὸν ἄνδρα ἢ ἐὰν ὁ ἀνὴρ ἐκπέμψῃ τὴν γυναῖκα, οὐκ ἔξεστι πράξασθαι τῷ δόντι ὃ μὴ προικὶ τιμήσας ἔδωκεν.

103. Ἐὰν ἀποπέμπῃ τὴν γυναῖκα, ἀποδιδόναι τὴν προῖκα, ἐὰν δὲ μὴ ἐπ' ἐννέα ὀβολοῖς τοκοφορεῖν, καὶ σίτου εἰς Ὠδεῖον εἶναι δικάσασθαι ὑπὲρ τῆς γυναικὸς τῷ κυρίῳ.

104. Μενούσης μοι τῆς μητρὸς ἐν τῷ οἴκῳ καὶ ζώσης, καὶ προῖκα ἐπενεγκαμένης, οὐκ ἀπογράφω τὴν προῖκα χρέως αὐτῇ, ἀλλὰ μετέχειν τῶν παίδων τὴν μητέρα.

105. Ἐὰν ἐξ ἐπικλήρου τις γένηται, καὶ ἅμα ἡβήσῃ ἐπὶ διετές, κρατεῖν τῶν χρημάτων, τὸν δὲ σῖτον μετρεῖν τῇ μητρί.

106. *Διαζύγιον*. Ἐὰν ὁ ἀνὴρ ἀποπέμπῃ τὴν γυναῖκα ἀποδιδόναι τὴν προῖκα.

---

102. Ὁ διαζευγνύμενος τὴν σύζυγόν του ἀπέδιδε τὴν προῖκα αὐτῆς, ἄλλως τῇ κατέβαλλε λόγῳ τόκου ἐννέα ὀβολοὺς κατὰ μῆνα, καὶ τῇ παρεῖχε διατροφὴν μέχρις ἀποπληρωμῆς τῆς προικός. — Ἐὰν ὁ ἀνὴρ ἐκπέμψῃ τὴν γυναῖκα, οὐκ ἔξεστι πράξασθαι τῷ δόντι ὃ μὴ ἐν προικὶ τιμήσας ἔδωκε (*Ἰσαίου - Πύρρου, 35*). — Ἐὰν κατέλιπεν ἐνήλικα τέκνα, αὕτη περιήρχετο εἰς αὐτὰ (*Δημοσθ. Βοιωτ. Β. 50, 60, σελ. 1023, 1026, κ.λπ.*). — Ἴδε ν. 69 II. 23. 3.

103. Ἴδε προηγουμένας σημειώσεις. — *Ἰσαίου - Πύρρου 78*.

104. Ἡ μήτηρ συμβιοῦσα μετὰ τῶν τέκνων της ἐν τῷ οἴκῳ τοῦ ἀποβιώσαντος συζύγου, δὲν ἠδύνατο νὰ ζητήσῃ τόκον τῆς προικός της. — Διὰ τί γὰρ ἐγώ, Φαίνιππε, μενούσης μοι τῆς μητρὸς ἐν τῷ οἴκῳ καὶ ζώσης καὶ προῖκα ἐπενεγκαμένης, οὐκ ἀπογράφω τὴν προῖκα χρέως αὐτῇ οὐδὲ παρακρούομαι τοὺς δικαστάς, ἀλλ' ἐῶ μετέχειν τῶν ἐμαυτοῦ τὴν μητέρα, ἄν τε τὴν Φαινίππου ἄν τε τὴν ἐμαυτοῦ ἔχω οὐσία; ὅτι οἱ νόμοι ταῦτα κελεύουσι (*Δημοσθ. Φαινίππου 27, σελ. 1047*).

173. Πᾶσα συμφωνία, συνομολογουμένη ἐνώπιον μαρτύρων, καὶ μὴ ἀντιτιθεμένη εἰς τὸν νόμον, εἶναι ἰσχυρά. — ...ἥκει πρὸς ὑμᾶς παραβεβηκὼς ...ἕτερον δὲ (ἐνν. νόμον) κελεύοντα, κυρίας εἶναι τὰ πρὸς ἀλλήλους ὁμολογίας, ἃς ἂν ἐναντίον ποιήσωνται μαρτύρων (*Δημοσθ. Φαινίππ. 1042, κ.λπ., Ὑπερείδ. Ἀθηνογένους 15*).

174. Καὶ εἴπου ἐναντίος νόμος εὐδοκιμοῦντι, ἢ καὶ αὐτὸς αὐτῷ· οἷον ἐνίοτε, ὁ μὲν κελεύει κύρια εἶναι, ἅττ' ἂν συνθῶνται, ὁ δέ, ἀπαγορεύει μὴ συντίθεσθαι παρὰ τὸν νόμον (*Ἀριστοτέλης*).

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



175. Τὰ σύμβολα κύρια εἶναι, ἐπειδὰν ἐν τῷ δικαστηρίῳ κυρωθῇ.

176. Προσυπογράφειν τοῦ πατρὸς καὶ τοῦ δήμου τοὔνομα.

177. Παιδὶ μὴ ἐξεῖναι συμβάλλειν, μηδὲ γυναικί, πέρα μεδίμνου κριθῶν.

178. *Διαιτησία.* Ἐάν δέ τινες περὶ συμβολαίων ἰδίων πρὸς ἀλλήλους ἀμφισβητῶσι καὶ βούλονται διαιτητὴν ἑλέσθαι ὁντινοῦν, ἐξέστω αὐτοῖς αἱρεῖσθαι ὃν ἂν βούλωνται. Ἐπειδὰν δ' ἕλωνται κατὰ κοινὸν μενέτωσαν ἐν τοῖς ὑπὸ τούτου διαγνωσθεῖσι, καὶ μηκέτι μεταφερέτωσαν ἀπὸ τούτου ἐφ' ἕτερον δικαστήριον ταὐτὰ ἐγκλήματα, ἀλλ' ἔστω τὰ κριθέντα ὑπὸ τοῦ δικαστηρίου κύρια.

179. *Δωρεά.* Ὧ βούλεταί τις τὰ αὑτοῦ, εἰ μὴ παῖδες ὦσιν αὐτῷ δοῦναι ἐξεῖναι.

180. Τὰς δωρεὰς ἃς ὁ δῆμος ἔδωκε κυρίας εἶναι. Τοὺς δὲ Ἄρχοντας κρίνεσθαι, ἵνα εἰ μὲν ἄξιοι, ἔχωσιν, εἰ δὲ ἀναξίως ἔχειν δοκεῖεν, ἐλεγχθέντες ἀφαιρεθῶσι.

---

175. Ἔτι περὶ συμβόλων φησὶ πεπομφέναι πρὸς ὑμᾶς τοὺς ποιησομένους· ταῦτα δὲ κύρια ἔσεσθαι, οὐκ ἐπειδὰν ἐν τῷ δικαστηρίῳ τῷ παρ' ἡμῶν κυρωθῇ, ὡς νόμος κελεύει, ἀλλ' ἐπειδὰν ὡς ἑαυτὸν ἐπαναν εχθῇ (*Δημοσθ. Ἁλοννήσ. 9*).

176. Προσπαραγράψουσι νὴ Δία τὸν ἐκ Πλαγγόνος, ἂν σὲ ἐγγράφωσιν, ἂν δ' ἐμέ, τῆς ἐμῆς μητρὸς τοὔνομα. καί τίς ἤκουσε πώποτε, ἢ κατὰ ποῖον νόμον προσπαραγράφοιτ' ἂν τοῦτο τὸ παράγραμμα ἢ ἄλλο τι πλὴν ὁ πατὴρ καὶ ὁ δῆμος; (*Δημοσθ. Βοιωτ. περὶ τοῦ ὀνόματος, 9*).

177. Ἴδε ἀνωτέρω σημείωσιν 44.

178. Πάλαι (ἤτοι πιθανῶς πρὸ τῆς ἐποχῆς τῶν ῥητόρων) οὐδεμία δίκη πρὶν ἐπὶ διαιτητὰς ἐλθεῖν εἰσήγετο (*Πολυδ. Η'. 126*), φαίνεται ὅμως ὅτι καὶ κατὰ τὴν ἐποχὴν τῶν ῥητόρων, οἱ ἁρμόδιοι ἄρχοντες, πρὸς οὓς εἰσήγετο δίκη τις, συνίστων εἰς τοὺς διαφερομένους νὰ ἀναθέσωσι τὴν λύσιν τῆς διαφορᾶς των εἰς διαιτητάς, πάντως ὅμως πᾶς διάδικος εἶχε τὸ δικαίωμα πρὶν ἢ εἰσαγάγῃ τὴν δίκην του εἰς τακτικοὺς δικαστάς, νὰ ζητήσῃ τὴν λύσιν τῆς διαφορᾶς του διὰ διαιτητῶν. Οἱ διαιτηταὶ οὗτοι ἦσαν ἁρμόδιοι νὰ λύσωσι μόνον τὰς ἰδιωτικὰς διαφοράς, οὐχὶ δὲ καὶ τὰς ἐγκληματικὰς (*Δημοσθ. Ἀνδροτίωνος 25, σελ. 601*). — Ἡ προσφυγὴ εἰς διαιτητὰς εἶχε τὸ πλεονέκτημα, ὅτι δὲν ἦτο δαπανηρά, διότι ἕκαστος τῶν ἰδιωτικῶν διαιτητῶν ἐλάμβανεν μίαν δραχμὴν ὡς ἀποζημίωσιν, *παράστασιν* καλουμένην, ἐνῷ διὰ τοὺς δημοσίους διαιτητάς, καὶ διὰ τὰ δικαστήρια ἀπῃτοῦντο μείζονες δαπάναι. Οἱ ἰδιωτικοὶ διαιτηταί, τρεῖς τὸν ἀριθμόν, ἐξελέγοντο ὑπὸ τῶν διαδίκων, οἵτινες, δι' ἐγγράφου (*ἐπιτροπὴν κατὰ συνθήκας*) (*Δημοσθ. Φορμίων. 912*), καθώριζον τὴν ἔκτασιν τῆς δικαιοδοσίας τῶν διαιτητῶν, ἐνίοτε περιοριστικῶς (*διαίταν ἐπὶ ῥητοῖς, Ἰσοκρ. Καλλ. σελ. 373*), καὶ συνωμολόγουν τὸ ἐκκλητὸν ἢ μὴ τῆς ἀποφάσεως αὐτῶν (*Δημοσθ. Ἀπατούρ. 897*). — Αἱ ἀποφάσεις τῶν διαιτητῶν τούτων ἐθεωροῦντο ἀνέκκλητοι (*Δημοσθ. Μειδ. 542*), ἐφ' ὅσον δὲν συνωμολογήθη ἀντιθετος ῥήτρα. — Ἴδε *ν. 39 Π. 4. 8. ν. 76 Π. 17, 2* καὶ *ν. 2. Κ. 2. 55.*

179. Ἴδε ἀνωτέρω θέμα 138. — *Ἰσαίου — Μενεκλ. 13.*

180. Πᾶς πολίτης ἠδύνατο ἐν τοσούτῳ νὰ ἀμφισβητήσῃ τὸ κῦρος τῆς δωρεᾶς, ἐὰν ὁ πρὸς ὃν αὕτη ἦτο ἀνάξιος αὐτῆς, οἱ δὲ ἄρχοντες ἠδύναντο ν' ἀκυρώσωσιν αὐτὴν ἐὰν ἀπεδεικνύετο ὅτι ἡ ἀμφισβήτησις ἦτο ὀρθή.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



181. *Ἐπαγγελία.* Ἐάν τις ἐναντίον τῶν πολιτῶν ὁμολογήσας τι παραβῇ, τοῦτον ἔνοχον εἶναι τῷ ἀδικεῖν.

182. *Δάνειον.* Ἐπὶ τοῖς σώμασι μηδένα δανείζειν.

183. *Ὑπερημερία.* Εἴ τις ἐκπροθεσμήσειε καὶ καταβάλοι τὰς δίκας, ἐξεῖναι ἅπτεσθαι αὐτοῦ τῶν κτημάτων.

184. Ἐάν τις τῶν ὀφειλόντων τῷ δημοσίῳ μὴ ἐκτίσας τὸ ὄφλημα τῇ πόλει ἐξαλειφθῇ, εἶναι κατ' αὐτοῦ τὰς γραφὰς πρὸς τοὺς θεσμοθέτας τοῦ ἀγραφίου, καὶ οὐ κατὰ τοῦ ὀφείλοντος καὶ μὴ ἐγγεγραμμένου, ἀλλ' ἔνδειξιν κελεύει καὶ ἄλλας τιμωρίας κατ' αὐτοῦ εἶναι.

185. *Ἐγγύησις.* Τὰς ἐγγύας ἐπετείους εἶναι.

186. Εἴ τινι τῶν ὀφειλόντων τῷ δημοσίῳ προστετίμηται κατὰ νόμον ἢ κατὰ ψήφισμα δεσμοῦ ἢ τὸ λοιπὸν προστιμηθῇ, εἶναι αὐτῷ ἢ ἄλλῳ ὑπὲρ ἐκείνου ἐγγυητὰς καταστῆσαι τοῦ ὀφλήματος, οὓς ἂν ὁ δῆμος χειροτονήσῃ, ἢ μὴν ἐκτίσειν τὸ ἀργύριον ὃ ὦφλε. τοὺς δὲ προέδρους ἐπιχειροτονεῖν ἐπάναγκες, ὅταν τις καθιστάναι βούληται. τῷ δὲ καταστήσαντι τοὺς ἐγγυητάς, ἐὰν ἀποδιδῷ τῇ πόλει τὸ ἀργύριον ἐφ' ᾧ κατέστησε τοὺς ἐγγυητάς, ἀφεῖσθαι τῶν δεσμῶν. ἐὰν δὲ μὴ καταβάλῃ τὸ ἀργύριον ἢ αὐτὸς ἢ οἱ ἐγγυηταὶ ἐπὶ τῆς ἐνάτης πρυτανείας, τὸν μὲν ἐξεγγυηθέντα δεδέσθαι, τῶν δὲ ἐγγυητῶν δημοσίαν εἶναι τὴν οὐσίαν. περὶ δὲ τῶν ὠνουμένων τὰ τέλη καὶ τῶν ἐγγυωμένων καὶ ἐκλεγόντων, καὶ τῶν τὰ μισθώσιμα μισθουμένων καὶ ἐγγυωμένων, τὰς πράξεις εἶναι τῇ πόλει κατὰ τοὺς νόμους τοὺς κειμένους. ἐὰν δ' ἐπὶ τῆς ἐνάτης πρυτανείας ὄφλῃ, τοῦ ὑστέρου ἐνιαυτοῦ ἐπὶ τῆς ἐνάτης, ἢ δεκάτης πρυτανείας ἐκτίνειν.

187. *Ζημίαι δούλου.* Τὰς ζημίας ἃς ἂν ἐργάσωνται οἱ οἰκέται καὶ τὰ ἀδικήματα διαλύειν τὸν δεσπότην παρ' ᾧ ἂν ἐργάσωνται οἱ οἰκέται

188. *Βλάβη.* Ἐὰν μέν τις ἑκὼν βλάψῃ διπλοῦν, ἂν δ' ἄκων ἁπλοῦν τὸ βλάβος ἐκτίνειν.

---

181. Τιμωρεῖται μὲ τὴν ποινὴν τῶν ἀδικούντων, πᾶς ὅστις ὁμολογήσῃ ἐνώπιον τῶν πολιτῶν, καὶ ἀρνηθῇ ὕστερον. — Ἴδε καὶ θέματα 254, 255.

182. Ἴδε ἀνωτέρω θέμα 6.

183. Λαβὼν δ' ὑπερήμερον, καὶ ἔχων, οὐδέποτε ἡψάμην πώποτε τῶν τούτου· ἰδοὺ γοῦν τοῦ νόμου διδόντος εἴ τις ἐκπροθεσμήσειε καὶ καταβάλοι τὰς δίκας, ἐξεῖναι ἅπτεσθαι αὐτοῦ τῶν κτημάτων· καίτοι ἐκέλευον οἱ νόμοι τῶν ἐνεχύρων λαμβάνεσθαι.

184. Ἴδε θέμα 520.

185. *Δημοσθ. Ἀπατούρ. 27, σελ. 901.* — Αἱ παρεχόμεναι ἐγγυήσεις ἴσχυον δι' ἓν ἔτος μόνον, ἐφ' ὅσον δὲν ἀνενεοῦντο.

186. Ἴδε θέμα 525β.

187.

188. Ἂν μὲν ἑκὼν βλάψῃ, διπλοῦν, ἂν δ' ἄκων, ἁπλοῦν τὸ βλάβος κελεύουσιν ἐκτίνειν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



189. *Βλάβη ζώου.* Κύνα δακόντα κλοιῷ τετραπήχει δεδεμένον παραδοθήσεσθαι.

190. *Ἐλαττώματα κεκρυμμένα.* Ὅταν τις πωλῇ ἀνδράποδον προλέγειν ἐάν τι ἔχῃ ἀρρώστημα, εἰ δὲ μή, ἀναγωγὴ τούτου ἐστίν.

191. *Διαχείρισις ἀλλοτρίων.* Περὶ ὧν καθυφῆκέ τις, αὐτὸν ὁμοίως ὀφλισκάνειν, ὥσπερ ἂν αὐτὸς ἔχῃ.

192. *Τόκοι.* Μὴ λαμβάνειν πολλούς (α). Ἡ μὴ ἀποδιδομένη προὶξ ἐπ' ἐννέα ὀβολοῖς τοκοφορεῖν (β).

193. Τὸ ἀργύριον στάσιμον εἶναι ἐφ' ὁπόσω ἂν βούληται ὁ δανείζων.

194. *Ἄφεσις - Ἀθῴωσις.* Ὧν ἂν ἀφῇ καὶ ἀπαλλάξῃ τις μηκέτι τὰς δίκας εἶναι. Παραγράφεσθαι δὲ ἂν τις πάλιν δικάζηται.

195. *Προστασία ζώων.* Ζῷα μὴ σίνεσθαι.

---

εἰκότως, ὁ μὲν γὰρ παθὼν πανταχοῦ βοηθείας δίκαιος τυγχάνειν, τῷ δράσαντι δ' οὐκ ἴσην τὴν ὀργήν, ἂν θ' ἑκὼν ἂν τ' ἄκων, ἔταξ' ὁ νόμος (*Δημοσθ. Μειδ. 43 σελ. 527*). — Ἴδε *ν. 1. § 2 Π. 48, 19. Δευτερονόμ. 25. 2.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

189. Ἔθος ἦν τὰς αὐλείους θύρας τηρεῖσθαι ὑπὸ κυνῶν (*Ὁμήρου Ἰλ. Χ*). — Πρὸς ἀσφάλειαν δὲ τῶν πολιτῶν ἐδένοντο μὲ τετράπηχυν περιτραχήλιον. — Ἐν τῇ Δωδεκαδέλτῳ γίνεται μνεία βλάβης ἐκ παντὸς τετραπόδου. — Ἴδε καὶ *ν. Π. 9. 1 ἐν Βασ. 60. 2. 1 ἐπ.* — Ἀλλ' ἔνθα μὴ τετράποδον, ἀλλ' ἕτερον ζημιώσει ζῷον, οὐτιλία ἁρμόζει (*Βασ. 60. 2. 4*).

190. Ὅταν τις πωλῇ ἀνδράποδον προλέγειν ἐάν τι ἔχῃ ἀρρώστημα, εἰ δὲ μή, ἀναγωγὴ τούτου ἐστίν. κ.λπ. (*Ὑπερείδ. Ἀθηνογένη 15*).

191. Ὁ διαχειριζόμενος ξένην περιουσίαν, ὀφείλει νὰ καταβάλῃ οἵαν ἐπιμέλειαν καὶ διὰ τὰ ἴδια.

192. α) Ὁ τόκος ἐποίκιλλε μεταξὺ 10 - 30 ἐπὶ τοῖς ἑκατόν, καθωρίζετο δὲ ὡς ἑξῆς, *ἐπὶ πέντε ὀβολοῖς* ἤτοι 10%, *ἐπὶ δραχμῇ* ἤτοι 12%, *ἐπὶ ὀκτὼ ὀβολοῖς* ἤτοι 16%, *ἐπ' ἐννέα ὀβολοῖς* ἤτοι 18%, *ἐπὶ δυσὶ δραχμαῖς* ἤτοι 24%, *ἐπὶ τρισὶ δραχμαῖς* ἤτοι 36%. — β) Ἡ γυνὴ διαζευγνυμένη τὸν ἄνδρα, ἠδύνατο νὰ ἀσκήσῃ τὴν δίκην τροφῆς καὶ σίτου. (*Σουΐδα Λεξ. λέξ. Σίτου τροφῆς καὶ σίτου δίκη, Δημοσθ. Νεαίρας 52, σελ. 1362*).

193. Τὸ ἀργύριον στάσιμον εἶναι, ἐφ' ὁπόσῳ ἂν βούληται ὁ δανείζων· Τὸ στάσιμον τοῦτό ἐστιν, ὦ βέλτιστε, οὐ ζυγῷ ἱστάναι, ἀλλὰ τόκον πράττεσθαι ὁπόσον ἂν βούληται. (*Λυσίου — Θεομν. 18*).

194. Ἐὰν συνεβιβάσθη τις, ἐναγόμενος δύναται νὰ ὑποβάλῃ ἔνστασιν περὶ ἀπαραδέκτου τῆς δίκης. (*Δημοσθ. Πανταίν. 19 σελ. 972, πρὸς Ναυσίμαχ. 5*).

195. Τῶν τοίνυν Ἀθήνησι νομοθετῶν Τριπτόλεμον παλαιότατον παρειλήφαμεν, περὶ οὗ Ἕρμιππος ἐν δευτέρῳ περὶ τῶν νομοθετῶν γράφει ταῦτα· φασὶ δὲ καὶ Τριπτόλεμον Ἀθηναίοις νομοθετῆσαι, καὶ τῶν νόμων αὐτοῦ τρεῖς ἔτι Ξενοκράτης ὁ φιλόσοφος λέγει διαμένειν Ἐλευσῖνι, τοὺς δε· γονεῖς τιμᾶν, θεοὺς καρποῖς ἀγάλλειν, ζῷα μὴ σίνεσθαι (βλάπτειν).

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



196. Τῷ κομίσαντι λύκον πέντε δραχμὰς διδόναι, λυκιδέα δὲ μίαν.

197. Βοῦν ἀρότην μὴ θύειν.

198. Μὴ σφάζειν πρόβατον ἄπεκτον ἢ ἄτοκον.

199. *Προστασία μετάλλων.* Ἐάν τις ἐξείργῃ τινὰ τῆς ἐργασίας τῶν μετάλλων, ἂν ὑφάψῃ τις, ἂν ὅπλα ἐπιφέρῃ, ἂν ἐπικατατέμνῃ τῶν μέτρων ἐκτός, μεταλλικὰς δίκας εἶναι.

200. *Παραγραφή.* Ἐὰν μὴ πέντε ἐτῶν δικάσωνται, μηκέτ' εἶναι δίκην.

201. *Συμβάσεις ἀλλοδαπῆς.* Ὑπὲρ μὲν τῶν γενομένων ὅμως συμβολαίων Ἀθήνησι, μηδ' εἰς τὸ Ἀθηναίων ἐμπόριον παραγράφεσθαι.

202. *Ἐμπορικὰ - Ὑποχρεώσεις ἐμπόρων.* Ἀψευδεῖν κατὰ τὴν ἀγοράν.

---

196. Λύκον δὲ τῷ κομίσαντι, πέντε δραχμὰς ἔδωκε, λυκιδέα δὲ μίαν, ὧν φησιν ὁ Φαληρεὺς Δημήτριος τὸ μὲν βοὸς εἶναι, τὸ δὲ προβάτου τιμήν... Ἀρχαῖον δὲ τοῖς Ἀθηναίοις τὸ πολεμεῖν τοῖς λύκοις, βελτίονα νέμειν ἢ γεωργεῖν χώραν ἔχουσι (*Πλουτ. Σόλ. XXIII. 20*). — Ἴδε *ν. 1 Εἰσ. 4. 9,* περὶ βλάβης ἐξ ἀγρίων ζώων, καὶ *ν. 1 Ι0 Π. 9. 1* καὶ *ν. μόν. Κ. 11. 45,* ἴδε καὶ *Βιργιλ. Γεβργ. στίχ. 130.*

197. Νόμος καὶ οὗτος Ἀττικός, βοῦν ἀρότην, καὶ ὑπὸ ζυγὸν πονήσαντα σὺν ἀρότρῳ, ἢ καὶ σὺν τῇ ἁμάξῃ, μηδὲν τούτων θύειν (*Αἰλιαν. Ποικ. Ἱστ.*).

198. Ἦν δὲ καὶ παλαιὸς νόμος τῆς ἐπιγονῆς ἕνεκα τῶν θρεμμάτων μὴ σφάττειν πρόβατον ἄπεκτον ἢ ἄτοκον (*Ἀνδροτίων, παρ' Ἀθηναίῳ Α'.*).

199. Ὁ νόμος οὗτος σκοπὸν εἶχε νὰ προστατεύσῃ τοὺς ἐργαζομένους εἰς αὐτά, ἐξ ὧν εἰσεπράττοντο 40 τάλαντα κατὰ τὴν ἐποχὴν τοῦ Θεμιστοκλέους, ἅτινα διετίθεντο ὑπὲρ τοῦ στόλου. — Ἐντεῦθεν ἐπροστατεύθησαν ταῦτα διὰ τῆς *ἀγράφου μετάλλου δίκης*. — Ἴδε *Σουΐδα Λεξ. λέξ. Ἀγράφου μετάλλου δίκη.*

200. Ἴδε κατωτέρω θέμα 229. — Ἐὰν μὴ πέντ' ἐτῶν δικάσωνται, μηκέτ' εἶναι δίκην. Οὐκοῦν ἐλάχομεν, φαῖεν ἄν. καὶ διελύσασθέ γε, ὥστ' οὐκ εἰσὶν αὖθις ὑμῖν δίκαι. εἰ δεινὸν γ' ἂν εἴη, εἰ τῶν μὲν ἐξ ἀρχῆς ἀδικημάτων οὐ δίδωσιν ἔξω πέντ' ἐτῶν τὰς δίκας τοῖς ὀρφανοῖς ὁ νόμος κατὰ τῶν οὐκ ἀφειμένων ἐπιτρόπων, πρὸς δὲ τοὺς ἐξ ἐκείνων ἡμᾶς, περὶ ὧν αὐτοὺς ἀφήκατε, εἰκοστῷ νῦν ἔτει δίκην τελέσαισθ' ὑμεῖς (*Δημοσθ. Ναυσίμ. 18*). — Ὑποστηρίζεται ἐν τοσούτῳ ὅτι ἡ παραγραφὴ αὕτη ἀφορᾷ τὰ ἰδιωτικὰ ἀδικήματα, καὶ οὐχὶ τὰ δημόσια.

201. Συμβόλαια καταρτισθέντα ἐκτὸς τῶν Ἀθηνῶν, ἢ ἀφορῶντα ἀπηγορευμένην ἐμπορίαν, δὲν ἠδύναντο νὰ ἀποτελέσουν ἀντικείμενον δίκης. — Καὶ τοῦτο ἐστὶ παραγραφή, καὶ ἐπ' ἐκείνῃ τῇ δίκῃ, περὶ ἧς οὐδὲν ὥρισται παρὰ τοῖς νόμοις, οὐδὲ ἔνεστιν αὐτὴν ὁ εἰσάξων, ὥσπερ καὶ τὰς ἄλλας δίκας· τῶν γὰρ ἄλλων δικῶν προστέτακται ἑκάστῳ τῶν ἐν ταῖς ἀρχαῖς εἰσάγειν τινά· παραγράφεσθαι οὖν ἐφεῖται καὶ τοῖς τοιοῦτόν τι ἐγκαλουμένοις, περὶ οὗ οὐ νενομοθέτηται (*Σουΐδα Λεξ. λέξ. Παραγραφή*).

202. *Ὑπερείδ. Ἀθηνογένη 14.* — Δυοῖν τούτων ἐπιμελεῖσθαι δεῖν τοὺς Ἀγορανόμους, τῆς τε ἐν τῇ ἀγορᾷ εὐκοσμίας καὶ τοῦ ἀψευδεῖν μὴ μόνον τοὺς πιπράσκοντας, ἀλλὰ καὶ τοὺς ὠνουμένους (*Θεόφραστος*).

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



203. Τοὺς ἰχθυοπώλας μὴ ἀποδοῦναι τοὺς ἰχθύας ἐλάττονος ἧς εἶπον τιμῆς, ἢ εἰς τὸ δεσμωτήριον ἀπάγεσθαι.

204. Τοὺς ἰχθυοπώλας μὴ ραίνειν τοὺς ἰχθῦς σαπρούς.

205. Δακτυλιογλύφῳ μὴ ἐξεῖναι σφραγῖδα φυλάττειν τοῦ πραθέντος δακτυλίου.

206. *Ἀπαγορεύσεις.* Τοὺς ξένους ἐν τῇ ἀγορᾷ μὴ ἐργάζεσθαι.

207. Τοὺς ἄνδρας μὴ μυροπωλεῖν.

208. Ἀθήνηθεν μὴ ἐξάγειν ἄλλοσε που σῦκα.

209. Μὴ ἐξάγειν ξύλα καὶ πίτταν.

210. Ἔλαιον μόνον ἐξάγειν, ἄλλα δὲ μή. Καὶ κατὰ τῶν ἐξαγόντων ἀρὰς τὸν ἄρχοντα ποιεῖσθαι προσέταξεν ἢ ἐκτίνειν αὐτὸν ἑκατὸν δραχμὰς εἰς τὸ δημόσιον.

211. *Προστασία σιταρκείας.* Μηδένα τῶν ἐν τῇ πόλει πλείω σῖτον πεντήκοντα φορμῶν συνωνεῖσθαι.

---

203. Ἡ ἀπαγόρευσις αὕτη σκοπὸν εἶχε νὰ ἀποφεύγηται ἡ πώλησις βεβλαμμένων ἰχθύων ἐπὶ μικροτέρᾳ τιμῇ.

204. Διὰ νὰ μὴ ἐξαπατῶνται οἱ ἀγορασταὶ ὅτι εἶναι πρόσφατοι *(Ξέναρχος).*

205. Πρὸς ἀποφυγὴν ἐνδεχομένης καταχρήσεως. — Ἴδε *ν. 6 Π. 10. 4.*

206. Ἡ ἀπαγόρευσις αὕτη ἀφεώρα τοὺς διερχομένους τῶν Ἀθηνῶν ἐμπόρους, ἢ προσωρινῶς διαμένοντας, οὐχὶ καὶ τοὺς μονίμως κατοικοῦντας. — Ἡμεῖς δ' ὁμολογοῦμεν καὶ ταινίας πωλεῖν καὶ ζῆν οὐχ ὅντινα τρόπον βουλόμεθα. καὶ εἴ σοί ἐστι τοῦτο σημεῖον, ὦ Εὐβουλίδη, τοῦ μὴ Ἀθηναίους εἶναι ἡμᾶς, ἐγώ σοι τούτου ὅλως τοὐναντίον ἐπιδείξω, ὅτι οὐκ ἔξεστι ξένῳ ἐν τῇ ἀγορᾷ ἐργάζεσθαι (*Δημοσθ. Εὐβουλ. 31, σελ. 1308*).

207. Ὡς μὴ ἀνδρικὴν τὴν τέχνην ταύτην. — (*Ἀθήναιος βιβλ. Γ'.*).

208. Οὐδ' ἐξάγεσθαι τῆς Ἀττικῆς τὰς ὑπ' αὐτῶν γιγνομένας ἰσχάδας, ἵνα μόνοι ἀπολαύοιεν οἱ κατοικοῦντες τὰ γινόμενα. (*Σχόλιον εἰς Ἀριστοφ. Πλοῦτον*). — Οὐκ ἂν οὖν τις ἡγήσαιτο παντελῶς ἀπιθάνους τοὺς λέγοντας, ὅτι καὶ σύκων ἐξαγωγὴ τὸ παλαιὸν ἀπείρητο καὶ τὸ φαίνειν ἐνδεικνύμενον τοὺς ἐξάγοντας κληθῆναι συκοφαντεῖν (*Πλουτ. Σόλ.* XXIV. 25.).

209. Καὶ ξύλα καὶ κηρὸν καὶ πίσσαν, ὡς ἀπαραίτητα ταῦτα διὰ τὴν ναυπηγικήν.

210. *Πλουτ. Σόλ.* XXIV. 15 Ἴδε καὶ *ν. 1 Κ. 4. 41.* — Οὐκ ἔστι δὲ ἐξαγωγὴ ἐλαίου ἐξ Ἀθηνῶν, εἰμὴ τοῖς νικῶσι· φασὶν οὖν τὴν ὑδρίαν πλήρη ἐλαίου κεκομικέναι ἐξ Ἀθηνῶν εἰς Ἄργος τὸν Θειαῖον νικήσαντα· τοῖς γὰρ ἀθληταῖς τοῖς τὰ Παναθήναια νενικηκόσι, δίδοται ὑδρία ἐλαίου πλήρης (*Πινδάρου Νεμέα Α. σχόλ.*).

211. Σιτοφύλακες, ἀρχή τις ἦν Ἀθήνησιν, ἥτις ἐπεμελεῖτο ὅπως ὁ σῖτος δικαίως πραθήσεται, καὶ τὰ ἄλφιτα καὶ οἱ ἄρτοι· ἦσαν δὲ τὸν ἀριθμὸν πεντεκαίδεκα, νῦν δὲ εἴκοσιν μὲν εἰς ἄστυ, πεντεκαίδεκα δ' εἰς Πειραιᾶ. — Οὗτοι, κληρωτοί, ἐπεμελοῦντο πρῶτον μὲν ὅπως ὁ ἐν ἀγορᾷ σῖτος ἀργὸς ὤνιος ἔσται δικαίως, ἔπειθ' ὅπως οἵ τε μυλωθροὶ πρὸς τὰς τιμὰς τῶν κριθῶν τὰ ἄλφιτα πωλήσουσιν καὶ οἱ ἀρτοπῶλαι πρὸς τὰς τιμὰς τῶν πυρῶν τοὺς ἄρτους καὶ τὸν σταθμὸν ἄγοντας ὅσον ἂν οὗτοι τάξωσιν· ὁ γὰρ νόμος τούτους κελεύει τάττειν (*Ἀριστοτ. Ἀθην. Πολιτ. LI, 3*). — Ἴδε κατωτέρω θέμα 217.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



212. Ἐάν τις Ἀθηναίων ἐμπόρων ἢ ναυκλήρων ἄλλοθί που σιτηγήσῃ ἢ Ἀθήναζε, κατὰ τούτου φάσεις εἶναι.

213. Τὸν φαίνοντά τινα ἐμπόρων ἢ ναυκλήρων Ἀθηναίων, ὡς ἑτερωσέ ποι καὶ μὴ Ἀθήναζε σεσιτηγηκότα, τὰ ἡμίσεα τῶν φανθέντων λαβεῖν.

214. Ἀργύριον δὲ μὴ ἐξεῖναι ἐκδοῦναι Ἀθηναίων καὶ τῶν μετοίκων τῶν Ἀθήνησι μετοικούντων μηδενί, μηδὲ ὧν οὗτοι κύριοί εἰσιν εἰς ναῦν ἥτις ἂν μὴ μέλλῃ ἄξειν σῖτον Ἀθήναζε, καὶ τἄλλα τὰ γεγραμμένα περὶ ἑκάστου αὐτῶν. ἐάν δέ τις ἐκδῷ παρὰ ταῦτα, εἶναι τὴν φάσιν καὶ τὴν ἀπογραφὴν τοῦ ἀργυρίου πρὸς τοὺς ἐπιμελητάς, καθὰ περὶ τῆς νεὼς καὶ τοῦ σίτου εἴρηται, κατὰ ταῦτα. καὶ δίκη αὐτῷ μὴ ἔστω περὶ τοῦ ἀργυρίου, ὃ ἂν ἐκδῷ ἄλλοσέ ποι ἢ Ἀθήναζε· μηδὲ ἀρχὴ εἰσαγέτω περὶ τούτου μηδεμία.

215. Μὴ φαίνειν, εἰ μὴ πιστεύει τις αὐτῷ δείξειν ἐν τοῖς δικασταῖς τὰ γεγενημένα, περὶ ὧν ποιεῖται τὴν φάσιν· ἐάν δέ τις παρ᾽ αὐτὰ ποιῇ τῶν συκοφαντούντων, ἔνδειξιν αὐτῶν εἶναι καὶ ἀπαγωγήν.

216. Ἐάν τις τινὰ φήνας ἢ γραψάμενος γραφάς, μὴ ἐπεξίῃ, ἢ ἐπεξιὼν μὴ μεταλάβῃ τὸ πέμπτον μέρος τῶν ψήφων, χιλίας ἀποτίνειν, καὶ τὸ λοιπὸν μὴ φαίνειν, μηδὲ γράφεσθαι, μήδ᾽ ἀπάγειν, μήδ᾽ ἐφηγεῖσθαι.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

---

212. Φάσεις δὲ ἦν, τὸ φαίνειν τοὺς περὶ τὸ ἐμπόριον κακουργοῦντας (*Πολυδεύκης*). — Ἠσκεῖτο δὲ ἡ φάσις κατὰ παντὸς ἐμπόρου ἢ πλοιάρχου, μεταφέροντος σῖτον εἰς ἄλλο μέρος πλὴν τῶν Ἀθηνῶν.

213. Ὁ καταμηνύσας τὸν εἰς ἄλλο μέρος τῶν Ἀθηνῶν μετακομίσαντα σῖτον, λαμβάνει τὸ ἥμισυ τοῦ σίτου. Ἴδε *Δημοσθ. Θεοκρίνου*. — Ἴδε κατωτέρω θέματα 215 καὶ 216.

214. Οὐδεὶς τῶν Ἀθηναίων ἢ μετοίκων δύναται ἐκδοῦναι χρήματα εἰς πλοῖον μεταφέρον σῖτον ἐκτὸς τῶν Ἀθηνῶν, ὁ παραβάτης ἐγκαλεῖται πρὸ τῶν Ἐπιμελητῶν διὰ τῆς φάσεως καὶ ἀπογραφῆς, στερεῖται δὲ τοῦ δικαιώματος νὰ ἀσκήσῃ ἀγωγὴν διὰ τὸ δάνειον τοῦτο. — Ἴστε γάρ, ὦ ἄνδρες δικασταί, τὸν νόμον ὡς χαλεπὸς ἐστιν, ἐάν τις Ἀθηναίων ἄλλοσέ ποι σιτηγήσῃ ἢ Ἀθήναζε, ἢ χρήματα δανείσῃ εἰς ἄλλο τι ἐμπόριον ἢ τὸ Ἀθηναίων, οἷαι ζημίαι περὶ τούτων εἰσίν, ὡς μεγάλαι καὶ δειναὶ (*Δημοσθ. Λάκριτ. 50, σελ. 941*).

215. Ἀλλ᾽ ἐὰν ὁ μηνύσας ἔμπορον ἢ πλοίαρχον δὲν προσκομίσῃ τὰς ἀναγκαίας ἀποδείξεις, καταδιώκεται διὰ τῶν ἀγωγῶν ἐνδείξεως καὶ ἀπαγωγῆς. — Ὅτι δ᾽ οὐ ταῖς χιλίαις μόνον ἔνοχός ἐστιν, ἀλλὰ καὶ ἀπαγωγῇ καὶ τοῖς ἄλλοις, ὅσα κελεύει πάσχειν ὁ νόμος οὑτοσὶ τὸν συκοφαντοῦντα τοὺς ἐμπόρους καὶ τοὺς ναυκλήρους, ῥᾳδίως ἐξ αὐτοῦ τοῦ νόμου γνώσεσθε. Βουλόμενος γὰρ ὁ τὸν νόμον τιθείς, μήτε τοὺς ἀδικοῦντας τῶν ἐμπόρων ἀθῴους εἶναι μήτε τοὺς ἄλλους πράγματ᾽ ἔχειν, ἁπλῶς ἀπεῖπε τοὺς τοιούτους τῶν ἀνθρώπων μὴ φαίνειν, εἰ μὴ πιστεύει τις αὐτῷ δείξειν ἐν ὑμῖν γεγενημένα περὶ ὧν ποιεῖται τὴν φάσιν· ἐὰν δέ τις παρ᾽ αὐτὰ ποιῇ τῶν συκοφαντούντων, ἔνδειξιν αὐτῶν εἶναι καὶ ἀπαγωγὴν (*Δημοσθ. Θεοκρίν. 10 σελ. 1325*). — Ἴδε κατωτέρω θέμα 295.

216. Ἐὰν ὁ μηνυτὴς παραιτηθῇ τῆς μηνύσεως, ἢ ἐάν, ἐξακολουθήσας τὴν δίκην, δὲν λά-

Ακαδημία Αθηνών / Academy of Athens

217. *Αἰσχροκέρδεια.* Οἱ σιτοπῶλαι ὥσπερ οἱ πολέμιοι, ἐπιβουλεύουσιν ἡμῖν, ἀναρπάζουσι τὸν σῖτον καὶ οὐκ ἐθέλουσι πωλεῖν. . . ἂν μὲν θάνατον αὐτῶν καταγνῶτε, κοσμιωτέρους ἔσεσθαι τοὺς λοιπούς. . . ἐλεοῦντες οὕτω τοὺς πολίτας, οἳ διὰ τὴν τούτων πονηρίαν ἀπέθνησκον.

218. *Προστασία ἐμπόρων.* Τὸν ἄριστον ὄντα τῶν ἑαυτοῦ συντέχνων σίτησιν ἐν Πρυτανείῳ λαμβάνειν καὶ Προεδρίαν.

219. Ἔνοχον εἶναι τῇ κατηγορίᾳ τὸν τὴν ἐργασίαν τὴν ἐν τῇ ἀγορᾷ, ἢ τῶν πολιτῶν ἢ τῶν πολιτίδων ὀνειδίζοντά τινι.

220. *Ναυτικά.* Τοὺς ναυκλήρους καὶ τοὺς ἐπιβάτας πλεῖν εἰς ὅ τι ἂν συνθῶνται ἐμπόριον, εἰ δὲ μὴ ζημιοῦσθαι.

---

βῃ τὸ πέμπτον μέρος τῶν ψήφων, καταδικάζεται εἰς πρόστιμον χιλίων δραχμῶν, καὶ καθίσταται ἀνίκανος νὰ ἀσκήσῃ ἐφεξῆς δημοσίαν ἀγωγὴν καθ' οἱουδήτινος. — Ἐὰν ἐπεξιὼν τις μὴ μεταλάβῃ τὸ πέμπτον μέρος τῶν ψήφων, χιλίας ἀποτίνειν, κἂν μὴ ἀπεξίῃ γ' ὦ Θεοκρίνη, χιλίας ἑτέρας, ἵνα μήτε συκοφαντῇ μηδεὶς μήτ' ἄδειαν ἔχων ἐργολαβῇ καὶ καθυφιῇ τὰ τῆς πόλεως (*Δημοσθ. Θεοκρ. 6, σελ. 1323*).

217. Προστατεύουσα ἡ πολιτεία τοὺς πολίτας, οἵτινες ἐπεβάλλοντο εἰς θυσίας, ἐπέβαλεν αὐστηρὰς ποινὰς κατὰ τῶν αἰσχροκερδῶν, οὓς ἐχθροὺς αὐτῆς ἐχαρακτήρισεν· οὕτω ἀπηγόρευσε τὴν ἀγορὰν σίτου πέραν ὡρισμένης ποσότητος (*μηδένα τῶν ἐν τῇ πόλει πλείω σῖτον πεντήκοντα φορμῶν συνωνεῖσθαι*) (νόμος Σόλωνος), καὶ τὴν πώλησιν αὐτοῦ ἐπὶ κέρδει, *μείζονι τοῦ ὀβολοῦ κατὰ μέδιμνον.* — Κατὰ τῶν παραβαινόντων τὰς ἀπαγορευτικὰς ταύτας διατάξεις ἐπεβάλλετο ἡ ποινὴ τοῦ θανάτου, (*ἂν μὲν θάνατον αὐτῶν καταγνῶτε, κοσμιωτέρους ἔσεσθαι τοὺς λοιπούς....... χρὴ δὲ κολάζειν αὐτοὺς καὶ παραδείγματος ἕνεκα τῶν μελλόντων ἔσεσθαι*) (*Λυσίου, Κατὰ σιτοπωλῶν 19, Δημοσθ. Θεοκρίνου*). — Καὶ ἐπεβάλλετο ἡ αὐστηρὰ ποινὴ τοῦ θανάτου, διότι, οὗτοι, *τότε γὰρ πλεῖστα κερδαίνουσιν, ὅταν κακοῦ τινος ἀπαγγελθέντος τῇ πόλει τίμιον τὸν σῖτον πωλῶσιν· οὕτω δὲ ἄσμενοι τὰς συμφορὰς τὰς ὑμετέρας ὁρῶσι..........καὶ εἰς τοῦτ' ἔχθρας ἐληλύθασιν, ὥστε ἐν τούτοις τοῖς καιροῖς ἐπιβουλεύουσιν ἡμῖν, ἐν οἷσπερ οἱ πολέμιοι· ὅταν γὰρ μάλιστα σίτου τυγχάνητε δεόμενοι, ἀναρπάζουσιν οὗτοι καὶ οὐκ ἐθέλουσι πωλεῖν* (*Λυσίου, αὐτόθι*). — Διὰ τὴν ἐπίβλεψιν τοῦ ἐμπορίου σίτου ἐκληροῦντο εἰς Ἀθήνας καὶ εἰς Πειραιᾶ ἀνὰ 5 ἀγορανόμοι, ἀνὰ 5 σιτοφύλακες καὶ ἀνὰ 5 μετρονόμοι, πρὸς δὲ ἐκληροῦντο δέκα ἐπιμεληταὶ ἐμπορίου, *οἷς προστέτακται τῶν τ' ἐμπορίων ἐπιμελεῖσθαι, καὶ τοῦ σίτου τοῦ καταπλέοντος εἰς τὸ σιτικὸν ἐμπόριον τὰ δύο μέρη τοὺς ἐμπόρους ἀναγκάζειν εἰς τὸ ἄστυ κομίζειν* (*Ἀριστοτ. Ἀθ. Πολιτ. 51*). — Κατὰ τῶν παραβατῶν εἶχεν καθορισθῇ βαρύταται ποιναί. — (*Διατριβὴ Ἰω. Δ. Ζέπου ἐν Δικαιοσύνῃ Α'. (1923) σελ. 79 ἐπ.*). — *Λυσίου, Κατὰ σιτοπωλῶν 14 ἐπ.*

218. Ἡ σίτησις εἰς τὸ πρυτανεῖον ἀπετέλει ἐξαιρετικὴν τιμήν, ἥτις παρείχετο καὶ εἰς τὸν ἄριστον τῶν συντεχνιτῶν ὡς ἀμοιβὴ πρὸς τόνωσιν τοῦ ἐπαγγελματικοῦ συναισθήματος.

219. Καίτοι, ὦ ἄνδρες Ἀθηναῖοι, οὐ μόνον παρὰ τὰ ψηφίσματα τὰ περὶ τὴν ἀγορὰν διέβαλλεν ἡμᾶς Εὐβουλίδης, ἀλλὰ καὶ παρὰ τοὺς νόμους, οἳ κελεύουσιν ἔνοχον εἶναι τῇ κατηγορίᾳ τὸν τὴν ἐργασίαν κ.λπ. (*Δημοσθ. Εὐβουλίδ. 30, σελ. 1308*).

220. *Δημοσθ. Διονυσοδ. 10, σελ. 1286.* — Οἱ πλοίαρχοι ὀφείλουν νὰ μεταφέρουν τοὺς ἐπιβάτας των εἰς τὸ συμφωνηθὲν μέρος, ἄλλως τιμωροῦνται.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



221. Ἐάν τις τῶν πορθμέων τῶν εἰς Σαλαμῖνα πορθμευόντων, ἄκων ἐν τῷ πόρῳ πλοῖον ἀνατρέψῃ, τούτῳ μὴ ἐξεῖναι πάλιν πορθμεῖ γενέσθαι.

222. Ἐν τοῖς ναυτικοῖς ἰσχὺν εἶχεν ὁ νόμος Ροδίων.

## Β΄. Ποινικά

223. *Ποινικά.* Σόλων ἀνεῖλε τοὺς Δράκοντος νόμους πλὴν τῶν φονικῶν.

224. *Βλάβη.* Βλάβη ἴσην τιμωρίαν εἶναι. Ἂν μέν τις ἑκὼν βλάψῃ διπλοῦν, ἂν δ' ἄκων ἁπλοῦν τὸ βλάβος ἐκτίνειν.

225. *Ἄψυχα.* Τὰ ἄψυχα, ἐὰν τινὰ ἐμπεσόντα ἀποκτείνῃ ὑπερορίζειν.

226. *Ζῷα.* Κύνα δακόντα κλοιῷ τετραπήχει δεδεμένον παραδοθήσεσθαι.

227. *Ἀκούσια ἁμαρτήματα.* Τῶν ἀκουσίων ἁμαρτημάτων οὐκ εἰσάγειν ἐστίν, ἀλλ' ἰδίᾳ λαβόντα διδάσκειν καὶ νουθετεῖν.

228. *Αὐτόφωρα.* Τῶν κακούργων τοὺς ὁμολογοῦντας ἄνευ κρίσεως κολάζειν.

229. *Παραγραφή.* Τοῖς ἀδικουμένοις τὰ πέντε ἔτη εἶναι εἰσπράττεσθαι.

---

221. *Αἰσχίν. Κτησιφ. 158.* — Δὲν ἠδύνατο νὰ πλοιαρχεύσῃ ἐφεξῆς ὁ πλοίαρχος, τοῦ ὁποίου τὸ πλοῖον ἀνετράπη, καὶ ἐὰν τοῦτο συνέβη ἀκουσίως του.

222.

223. Ἴδε σημείωσιν ε΄. τοῦ ἀνωτέρω προκρίματος. — Ἑρμηνείαν τῶν φονικῶν νόμων τοῦ Δράκοντος ἔδιδον οἱ ἐξηγηταί (*Δημοσθ. Εὐεργ. Μνησιβ. 68 - 71*).

224. Ἴδε ἀνωτέρω θέμα 188.

225. Καὶ γὰρ ἂν εἴη δεινόν, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ τὰ μὲν ξύλα καὶ τοὺς λίθους καὶ τὸν σίδηρον, τὰ ἄφωνα καὶ τὰ ἀγνώμονα, ἐάν τῳ ἐμπεσόντα ἀποκτείνῃ, ὑπερορίζομεν κ.λπ. (*Αἰσχίν. Κτησιφ. 244*). — Τὸ ἐπὶ πρυτανείῳ δικάζει δὲ περὶ τῶν ἀποκτεινάντων, κἂν ὦσιν ἀφανεῖς· καὶ περὶ τῶν ἀψύχων τῶν ἐμπεσόντων καὶ ἀποκτεινάντων. προειστήκεσαν δὲ τούτου τοῦ δικαστηρίου φυλοβασιλεῖς, οὓς ἔδει τὸ ἐμπεσὸν ἄψυχον ὑπερορίσαι (*Πολυδ. Η 120. Αἰσχίν. Κτησιφ. 244*).

226. Ἴδε ἀνωτέρω θέμα 189.

227. Τὰ ἀκούσια ἁμαρτήματα δὲν δικάζονται.

228. Τίς γὰρ ἢ τῶν λωποδυτῶν ἢ τῶν κλεπτῶν ἢ τῶν μοιχῶν ἢ τῶν ἀνδροφόνων, ἢ τῶν τὰ μέγιστα μὲν ἀδικούντων, λάθρᾳ δὲ τοῦτο πραττόντων, δώσει δίκην; καὶ γὰρ τούτων οἱ μὲν ἐπ' αὐτοφώρῳ ἁλόντες, ἐὰν ὁμολογῶσι, παραχρῆμα θανάτῳ ζημιοῦνται, οἱ δὲ λαθόντες καὶ ἔξαρνοι γιγνόμενοι κρίνονται ἐν τοῖς δικαστηρίοις, εὑρίσκεται δὲ ἡ ἀλήθεια ἐκ τῶν εἰκότων. (*Αἰσχίν. Τιμάρχ. 91*).

229. Ἴδε ἀνωτέρω θέμα 200. — Δοκεῖ γάρ μοι, καὶ ὁ Σόλων οὐδενὸς ἄλλου ἕνεκα θεῖναι αὐτόν, ἢ τοῦ μὴ συκοφαντεῖσθαι ὑμᾶς· τοῖς μὲν γὰρ ἀδικουμένοις ἱκανὰ τὰ πέντε ἔτη ἡγήσατο εἶναι εἰσπράξασθαι· κατὰ δὲ τῶν ψευδομένων, τὸν χρόνον ἐνόμισε σαφέστατον ἔλεγχον ἔσεσθαι. Καὶ ἅμα ἐπειδὴ ἀδύνατον ἔγνω ὄν, τούς τε συμβάλλοντας καὶ τοὺς μάρτυρας ἀεὶ ζῆν, τὸν νόμον ἀντὶ τούτου ἔθηκεν, ὅπως μάρτυς εἴη τοῦ δικαίου τοῖς εἰρημένοις (*Δημοσθένης*).

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



230. *Ἠθικὸς αὐτουργός.* Τὸν βουλεύσαντα ἐν τῷ αὐτῷ ἐνέχεσθαι καὶ τὸν τῇ χειρὶ ἐργασάμενον.

231. *Ἠθικὴ ζημία.* Οὐχ ἡ πληγὴ παρίστησι τὴν ὕβριν, ἀλλ' ἡ ἀτιμία, δι' ἣν καὶ μεγίστης τυγχάνειν τιμωρίας.

232. *Ἔρευνα κατ' οἶκον.* Φορέσαντα γυμνὸν χιτωνίσκον, ἔχοντα ἄζωστον, εἰσιέναι εἰς τὴν οἰκίαν, ἐπὶ τῷ ἐρευνῆσαι.

233. *Ποιναί.* Ζημία (α), φυγὴ (β), ἀτιμία (γ), θάνατος (δ), δεσμὰ (ε), στήλη (στ), παρατιλμὸς ἢ ραφανίδωσις (ζ), ἐξοστρακισμὸς (η), ποδοκάκκη (θ), ξύλον (ι), πρόστιμα (ια), κρημνός, βάραθρον (ιβ), ἡ δήμευσις (ιγ), τὸ κώνειον (ιδ), ὁ ἀποτυμπανισμός (ιε), ὁ τροχὸς (ιστ), ὁ βρόχος καὶ ἡ στραγγάλη (ιζ), καὶ αἱ ἰδιότυποι ποιναὶ τῶν μοιχῶν.

234. *Μία μόνη ποινή.* Μηδὲν τίμημα ὑπάρχειν ἐπὶ κρίσει πλέον ἢ ἕν, ὁπότερον

---

230. Ὥσπερ ὁ Λαοδάμας κατηγορῶν ἔφη Καλλιστράτου τὸν βουλεύσαντα τοῦ πράξαντος μᾶλλον ἀδικεῖν· οὐ γὰρ ἂν πραχθῆναι μὴ βουλεύσαντος (*Ἀριστοτ. Ρητορ. Α'. 7, σελ. 1364α*).

231. *Δημοσθ. Μειδίου σελ. 537.* — Ὁ νόμος οὗτος περιελήφθη καὶ ἐν τῷ ρωμ. δικ. *ν. 16 Π. 48. 19.*

232. Ἔθος ἦν τοὺς εἰσιόντας εἰς οἰκίαν τινὸς ἐπὶ τῷ ἐρευνῆσαι, γυμνοὺς εἰσιέναι, ἵνα μή τι ὑπὸ τὰ ἱμάτια κρύψαντες λάθωσιν, ἢ ἵνα μή τι ὑπὸ ἔχθρας λάβωσιν ὑποβαλόντες τὸ ζητούμενον, καὶ ζημίας αἴτιοι τούτῳ γένωνται (*Σχόλιον εἰς Ἀριστοφάνην*).

233. *Πολυδ. Η'. 70 ἑπ.* — (α) *Πλάτ. Νόμοι Η. 847, κ.λπ.* — Ἀποτίνειν δεκάβοιον. Καὶ ἐν τῇ παρὰ Δηλίας θεωρίᾳ τὸν κήρυκα κηρύττειν, φασίν, ὁπότε δωρεάν τινι ἐδίδετο, ὅτι δοθήσονται αὐτῷ τοσοῦτοι βόες, καὶ δίδοσθαι καθ' ἕκαστον βοῦν δύο δραχμὰς Ἀττικὰς (*Πολυδ. Θ. 73*). Καὶ ἑκατόμβοιον (*Πλουτ. Σόλων*). (β) *Ὀδύσσ. Κ. 117, Αἰσχύλ. Ἀγαμέμν. 1412 κ.λπ.* — (γ) Ἴδε ἀνωτέρω θέμ. 75. — (δ) *Θουκυδ. Γ'. 37.* — (ε) *Δημοσθ. Τιμοκρ. 151.* — (στ) *Πολυδ. Η. 73.* — (ζ) Ἡ διὰ ροπάλου τιμωρία τῶν μοιχῶν, καὶ μάδημα τῶν τριχῶν (*σχόλ. εἰς Ἀριστοφ. Πλοῦτ. 168.* — Ἴδε κατωτέρω θέμα 300. — (η) Κλεισθένης δὲ ὁ Ἀθηναῖος τὸ δεῖν ἐξοστρακίζεσθαι πρῶτος εἰσηγησάμενος, αὐτὸς ἔτυχε τῆς καταδίκης πρῶτος (*Αἰλιανοῦ*), ἔσχατος δὲ ὁ Ὑπέρβολος. — (θ) Ποδοκάκκη (*Λυσίου — Θεομν. 16*), ξύλον, εἰς ὃ ἐν εἱρκτῇ τοὺς πόδας ἐμβάλλοντες συνέχουσι· ἐν εἱρκτῇ τε καὶ ποδοκάκκῃ στρεβλούμενοι καὶ ταλαιπωρούμενοι Ἔμενον (*Σουΐδας, ποδοκάκκη*), πέντε γὰρ ὀπὰς ἔχει δι' ὧν οἱ πόδες καὶ αἱ χεῖρες καὶ ὁ τράχηλος ἐμβάλλονται (αὐτόθι). — Δεδέσθαι ἐν τῇ ποδοκάκκῃ ἡμέρας δέκα τὸν πόδα, ἐὰν μὴ προτιμήσῃ ἡ Ἡλιαία. — (ι) Ξύλῳ δῆσαι (*Ἀριστοφ. Ἱππ. 367*). — (ια) Χρηματικὴ ποινὴ ὑπὸ τοῦ δικαστοῦ ἢ τοῦ νόμου ἐπιβαλλομένη (*Πολυδεύκης*). — (ιβ) Χάσμα τι φρεατῶδες, ἔχον ἄγκιστρα (*Ἀριστοφ. Πλοῦτ. 431, Πλάτων. Γοργ. 526, Λυκοῦργ. Λεωκρ. 221, Ξενοφ. Ἑλλην. Α. 7. 21*). — (ιγ) *Λυσίου — Νικομάχ. 22, Ἀριστοφ. Ἱππ. 1370*), ταύτην ἐπηκολούθει ἀπογραφὴ (*Ἀνδοκίδ. Μυστήρ. 13*). — (ιδ) *Πλάτων. Φαίδων 65 - 6.* — (ιε) Θάνατος διὰ τυμπάνου, ὅπερ ἐστὶ ξύλον, ὥσπερ ρόπαλον. — (ιστ) *Ἰσαίου — Φαρμακ. 20.* — (ιζ) *Πλουτ. — Ἆγις Κ.*

234. (α) Ἴστε γὰρ δήπου τοῦθ' ὅτι τῶν τὰ δεινότατα ἡμᾶς ἀδικούντων ἐν ἑκάστῳ τίμημα ὑπάρχειν διὰ τὸν νόμον, ὃς διαρρήδην λέγει, ὡς χρὴ μηδὲν τίμημα ὑπάρχειν ἐπὶ κρίσει πλέον ἢ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



ἂν τὸ δικαστήριον τιμήσῃ, παθεῖν ἢ ἀποτῖσαι· ἀμφότερα δὲ μὴ ἐξέστω (α). *Διάρκεια δίκης*. Μὴ πλείω εἶναι τριταίας τὴν κρίσιν (β).

235. *Σύλληψις - ἐκτέλεσις*. Μηδενὸς τοῖς Διονυσίοις ἐπιλαμβάνεσθαι.

236. *Ἀδικήματα κατὰ τῆς Πολιτείας. Προδότης*. Τὸν τῆς αὐτοῦ πατρίδος προδότην, τῆς Ἀθηναίων χώρας μὴ ἐπιβαίνειν, εἰ δὲ μὴ τοῖς αὐτοῖς ἔνοχον εἶναι, οἷς περ ἄν τις τῶν φευγόντων ἐξ Ἀρείου Πάγου κατίῃ.

237. Ἐάν τις φρούριόν τι προὔδωκεν ἢ ναῦν, ἢ στρατόπεδον, θανάτῳ ζημιοῦσθαι.

238. Ἐάν τις ἢ πόλιν προδιδῷ ἢ τὰ ἱερὰ κλέπτῃ, κριθέντα ἐν δικαστηρίῳ, ἂν καταγνωσθῇ, μὴ ταφῆναι ἐν τῇ Ἀττικῇ, τὰ δὲ χρήματα αὐτοῦ δημόσια εἶναι.

239. Ἐάν τις ἐχθροὺς παρορμήσῃ ἠδὲ πολίτην αὐτοῖς παραδῷ, θανάτῳ ζημιοῦσθαι.

240. Τοὺς αὐτομολοῦντας θανάτῳ ζημιοῦσθαι. Ἄτιμος δ' ἔστω καὶ πολέμιος τοῦ δήμου Ἀθηναίων, καὶ τῶν συμμάχων, αὐτὸς καὶ τὸ γένος.

---

ἕν, ὁπότερον ἂν τὸ δικαστήριον τιμήσῃ, παθεῖν ἢ ἀποτῖσαι· ἀμφότερα δὲ μὴ ἐξέστω. (*Δημοσθ. Λεπτίν. 455*). — (β) Πᾶσα δίκη δὲν ἠδύνατο νὰ διαρκέσῃ πέραν τῶν τριῶν ἡμερῶν. — Τριταία παρὰ Σόλωνι (*Ἡσύχιος*).

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

235. Περὶ τὰ μυστήρια ἀδικεῖν Εὐάνδρου κατεχειροτόνησεν ὁ δῆμος τοῦ Θεσπιέως, προβαλλομένου (αὐτὸν) Μενίππου, Καρός τινος ἀνθρώπου. ἔστι δ' ὁ αὐτὸς νόμος τῷδε τῷ περὶ τῶν Διονυσίων ὁ περὶ τῶν μυστηρίων, κἀκεῖνος ὕστερος τοῦδ' ἐτέθη. τί οὖν ποιήσαντος, ὦ ἄνδρες Ἀθηναῖοι, κατεχειροτονήσατε τοῦ Εὐάνδρου; τοῦτ' ἀκούσατε, ὅτι δίκην ἐμπορικὴν καταδικασάμενος τοῦ Μενίππου, οὐκ ἔχων πρότερον λαβεῖν αὐτὴν, ὡς ἔφη, τοῖς μυστηρίοις ἐπιδημοῦντος ἐπελάβετο. κατεχειροτονήσατε μὲν διὰ ταῦτα, καὶ οὐδ' ὁτιοῦν ἄλλο προσῆν, εἰσελθόντα δ' εἰς τὸ δικαστήριον ἐβούλεσθε μὲν θανάτῳ κολάσαι κ.λπ. (*Δημοσθ. Μειδίου 175*).

236. Ο προδότης τῆς πατρίδος του δὲν δύναται νὰ εἰσέλθῃ εἰς τὴν Ἀττικήν, ἄλλως τιμωρεῖται ὡς οἱ καταδικασμένοι ὑπὸ τοῦ Ἀρείου Πάγου, ὅταν ἐπανέρχωνται. — Ἢ τὸ γράψαι Ταυρομένην Ἀθηναῖον εἶναι, τοὺς μὲν αὐτῷ πολίτας καταδουλωσάμενον, τῆς δ' Εὐβοίας ὅλης μετὰ τοῦ ἀδελφοῦ Καλλίου προδότην Φιλίππῳ γεγεννημένον, ὃν οὐκ ἐῶσιν οἱ νόμοι τῆς Ἀθηναίων χώρας ἐπιβαίνειν, εἰ δὲ μή, τοῖς αὐτοῖς ἔνοχον εἶναι κελεύουσιν, οἷς περ ἄν τις τῶν φευγόντων ἐξ Ἀρείου Πάγου κατίῃ (*Δεινάρχου — Δημοσθ. 44*). — Ἀποβεβληκότος ὅπλα (*Λυσίου — Θεομνηστ. 1*).

237. *Λυσίου — Φίλωνος, 26*.

238. Καὶ ψηφίζεται ὁ δῆμος, τὸν μὲν νεκρὸν κρίνειν προδοσίας, κἂν δόξῃ προδότης ὤν, ἐν τῇ χώρᾳ μὴ τεθάφθαι, τά τε ὀστᾶ αὐτοῦ ἀνορύξαι, καὶ ἐξορίσαι ἔξω τῆς Ἀττικῆς, ὅπως ἂν μὴ κέηται ἐν τῇ χώρᾳ μηδὲ τὰ ὀστᾶ τοῦ τὴν χώραν καὶ τὴν πόλιν προδιδόντος (*Λυκούργ. Λεωκράτ. 113*).

239. Ο νόμος οὗτος τοῦ Σόλωνος, μετηνέχθη εἰς τὴν Δωδεκάδελτον, καὶ ἐκεῖθεν εἰς *ν. 3 καὶ 4 Π. 48. 4*.

240. Πυθώνακτος Ζελείτης ἄτιμος καὶ πολέμιος τοῦ δήμου Ἀθηναίων καὶ τῶν συμμάχων,

Ακαδημία Αθηνών / Academy of Athens

241. Εἴ τις ἐπιχειροίη τυραννεῖν, θάνατον ζημίαν εἶναι.

242. Ὅς ἂν ἄρξῃ ἐν τῇ πόλει τῆς δημοκρατίας καταλυθείσης, νηποινεὶ τεθνάναι, καὶ τὸν ἀποκτείναντα ὅσιον εἶναι καὶ τὰ χρήματα ἔχειν τοῦ ἀποθανόντος.

243. Ἐάν τις δημοκρατίαν καταλύῃ τὴν Ἀθήνησιν, ἢ ἀρχήν τινα ἄρχῃ καταλελυμένης τῆς δημοκρατίας, πολέμιος ἔστω Ἀθηναίων καὶ νηποινεὶ τεθνάτω, καὶ τὰ χρήματα αὐτοῦ δημόσια ἔστω, καὶ τῆς θεοῦ τὸ ἐπιδέκατον· ὁ δὲ ἀποκτείνας τὸν ταῦτα ποιήσαντα καὶ ὁ συμβουλεύσας ὅσιος ἔστω καὶ εὐαγής. ὀμόσαι δ' Ἀθηναίους ἅπαντας καθ' ἱερῶν τελείων, κατὰ φυλὰς καὶ κατὰ δήμους, ἀποκτενεῖν τὸν ταῦτα ποιήσαντα.

244. Ὅς ἂν ἄρχων ἢ ἰδιώτης αἴτιος ᾖ τοῦ τὸν θεσμὸν συγχυθῆναι τόνδε, ἢ μεταποιήσῃ αὐτόν, ἄτιμον εἶναι καὶ παῖδας ἀτίμους καὶ τὰ ἐκείνου.

245. Χίλια τάλαντα κατὰ τὸν ἐνιαυτὸν ἐξαίρετα εἶναι τῷ δήμῳ καὶ μὴ ἀναλοῦν. Ἢν δέ τις εἴπῃ ἢ ἐπιψηφίσῃ κινεῖν τὰ χρήματα ταῦτα εἰς ἄλλο τι, ἢν μὴ οἱ πολέμιοι νηΐτῃ στρατῷ ἐπιπλέωσι τῇ πόλει, καὶ δέῃ ἀμύνασθαι, θάνατον ζημίαν εἶναι.

---

αὐτὸς καὶ γένος. εἶθ' ἡ αἰτία γέγραπται, δι' ἣν τοῦτ' ἐγένετο· ὅτι τὸν χρυσὸν τὸν ἐκ Μήδων εἰς Πελοπόννησον ἤγαγεν..... ἐκεῖνοι (ἐνν. οἱ Ἀθηναῖοι) Ζελείτην τινά, Ἄρθμιον, δοῦλον βασιλέως (ἡ γὰρ Ζέλειά ἐστι τῆς Ἀσίας), ὅτι τῷ δεσπότῃ διακονῶν χρυσίον ἤγαγεν εἰς Πελοπόννησον, οὐκ Ἀθήναζε, ἐχθρὸν αὐτῶν ἀνέγραψαν καὶ τῶν συμμάχων αὐτὸν καὶ γένος, καὶ ἀτίμους (*Δημοσθ. Φιλίππου Γ', 43*).

241. Τὸ δὲ μεσοτύραννον ἐν τῷ Ποπλικόλᾳ σφοδρότερον. Εἰ γάρ τις ἐπιχειροίη τυραννεῖν, ὁ μὲν Σόλων ἁλόντι τὴν δίκην ἐπιτίθησιν, ὁ δὲ καὶ πρὸ τῆς κρίσεως ἀνελεῖν δίδωσι (*Πλουτ. Σόλωνος καὶ Ποπλικόλα σύγκρισις, 11. 10*).

242. Ὁ δὲ νόμος τί κελεύει, ὃς ἐν τῇ στήλῃ ἔμπροσθέν ἐστι τοῦ βουλευτηρίου; «ὃς ἂν ἄρξῃ ἐν τῇ πόλει τῆς δημοκρατίας καταλυθείσης νηποινεὶ τεθνάναι, καὶ τὸν ἀποκτείναντα ὅσιον εἶναι καὶ τὰ χρήματα ἔχειν τοῦ ἀποθανόντος». ἄλλο τι οὖν, ὦ Ἐπίχαρες, ἢ νῦν ὁ ἀποκτείνας σε καθαρὸς τὰς χεῖρας ἔσται, κατά γε τὸν Σόλωνος νόμον; (*Ἀνδοκίδ. Περὶ μυστηρ. 95*).

243. *Ὅρκος Βουλευτῶν*. «Κτενῶ καὶ λόγῳ καὶ ἔργῳ καὶ ψήφῳ καὶ τῇ ἐμαυτοῦ χειρί, ἂν δυνατὸς ὦ, ὃς ἂν καταλύσῃ τὴν δημοκρατίαν τὴν Ἀθήνησι, καὶ ἐάν τις ἄρξῃ τιν' ἀρχὴν καταλελυμένης τῆς δημοκρατίας τὸ λοιπόν, καὶ ἐάν τις τυραννεῖν ἐπαναστῇ ἢ τὸν τύραννον συγκαταστήσῃ· καὶ ἐάν τις ἄλλος ἀποκτείνῃ, ὅσιον αὐτὸν νομιῶ εἶναι καὶ πρὸς θεῶν καὶ δαιμόνων, ὡς πολέμιον κτείναντα τὸν Ἀθηναίων, καὶ τὰ κτήματα τοῦ ἀποθανόντος πάντα ἀποδόμενος ἀποδώσω τὰ ἡμίσεα τῷ ἀποκτείναντι, καὶ οὐκ ἀποστερήσω οὐδέν. ἐὰν δέ τις κτείνων τινὰ τούτων ἀποθάνῃ ἢ ἐπιχειρῶν, εὖ ποιήσω αὐτόν τε καὶ τοὺς παῖδας τοὺς ἐκείνου καθάπερ Ἁρμόδιόν τε καὶ Ἀριστογείτονα καὶ τοὺς ἀπογόνους αὐτῶν. ὁπόσοι δὲ ὅρκοι ὀμώμονται Ἀθήνησιν ἢ ἐν τῷ στρατοπέδῳ ἢ ἄλλοθί που ἐναντίοι τῷ Δήμῳ τῷ Ἀθηναίων, λύω καὶ ἀφίημι.» — Τὸ ψήφισμα τοῦτο καὶ ὁ ὅρκος ἔγιναν μετὰ τὴν κατάλυσιν τῶν τριάκοντα τυράννων. — Ἴδε καὶ *Λυκούργ. Λεωκράτους 124 - 5, Ἀνδοκίδ. Μυστηρ. 96.*

244. Ἴδε ἀνωτέρω θέμα 23α.

245. Εὐπορήσαντος τοῦ δήμου Ἀθηναίων μετὰ τὸν πόλεμον Αἰγινητῶν καὶ Λακεδαι-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



246. Θανάτῳ ζημιοῦσθαι, εἴ τις ἐπιχειροίη μεταποιεῖν τὰ θεωρικὰ στρατιωτικά.

247. *Ἀδικήματα κατὰ τῆς θρησκείας*. Τὸν ἁλόντα θακεύοντα ἐν τῷ τεμένει

---

μονίων, καὶ εἰσρεύσαντος πολλοῦ χρήματος ἐν Ἀθήναις, ἀπεφασίσθη ὅπως χίλια τάλαντα νὰ φυλαχθοῦν εἰς τὴν Ἀκρόπολιν, διὰ νὰ χρησιμεύσουν δι' ἐνδεχομένην ἐχθρικὴν ναυτικὴν εἰσβολήν, πρὸς τοῦτο δὲ ὥρισαν τὴν ποινὴν τοῦ θανάτου ἐναντίον παντὸς ὅστις ἤθελε προτείνῃ τὴν χρησιμοποίησιν τούτων ἄλλως. — Οὗτοι (πρέσβεις ἡμῶν) ἡμῖν εἰρήνην ἐποίησαν πρὸς Λακεδαιμονίους ἔτη τριάκοντα... αὕτη γὰρ ἡ εἰρήνη τὸν δῆμον τὸ Ἀθηναίων ὑψηλὸν ἦρε καὶ κατέστησεν ἰσχυρὸν οὕτως ὥστε πρῶτον μὲν ἐν τούτοις τοῖς ἔτεσιν εἰρήνην λαβόντες ἀνηνέγκαμεν χίλια τάλαντα εἰς τὴν ἀκρόπολιν, καὶ νόμῳ κατεκλήσαμεν ἐξαίρετα εἶναι τῷ δήμῳ (*Ἀνδοκίδ. Εἰρήν. Λακεδαιμ. 6*).

246. Τὰ θεωρικὰ χρήματα προωρίζοντο διὰ θρησκευτικὰς τελετάς, θεατρικὰς παραστάσεις, ἑορτάς, ἀγῶνας, πανηγύρεις καὶ ἄλλα. — Ἰστέον δὲ ὅτι τὰ χρήματα ταῦτα τὰ δημόσια, θεωρικά, ἐποίησεν ἐξ ἀρχῆς ὁ Περικλῆς δι' αἰτίαν τοιαύτην· ἐπειδὴ πολλῶν θεωμένων καὶ στασιαζόντων διὰ τὸν τόπον, καὶ ξένων καὶ πολιτῶν, καὶ λοιπὸν τῶν πλουσίων ἀγοραζόντων τοὺς τόπους, βουλόμενος ἀρέσαι τῷ δήμῳ καὶ τοῖς πένησι, ἵνα ἔχωσι καὶ αὐτοὶ πόθεν ὠνεῖσθαι τόπους, ἔγραψε τὰ προσοδευόμενα χρήματα τῇ πόλει γενέσθαι πᾶσι θεωρικὰ τοῖς πολίταις. — Πρὸς τοῦτο ἔταξεν ὅπως ἕκαστος πολίτης λαμβάνει ἐκ τοῦ δημοσίου ταμείου δύο ὀβολοὺς καθ' ἡμέραν, διὰ τὴν πληρωμὴν τοῦ θεατρικοῦ τόπου. — Εἶτα ἐπιχειρήσαντος Ἀπολλοδώρου τινός, πάλιν αὐτὰ ποιῆσαι στρατιωτικά, βουλόμενος Εὔβουλος, δημαγωγὸς ὤν, πλείονα εὔνοιαν ἐπισπάσασθαι τοῦ δήμου πρὸς ἑαυτόν, ἔγραψε νόμον τὸν κελεύοντα, θανάτῳ ζημιοῦσθαι, εἴ τις ἐπιχειροίη τὰ θεωρικὰ στρατιωτικὰ (*Οὐλπιανοῦ καὶ Λιβανίου εἰς τὸν α΄ Ὀλυνθιακόν*).

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

247. α) Ἴδε θέμα 537. — Πεισίστρατος οἰκοδομεῖ τὸν ἐν Πυθίῳ ναὸν τοῦ Ἀπόλλωνος τῶν δὲ Ἀθηναίων περιϊόντων, μισούντων αὐτόν, οὐδὲν ἐχόντων ποιεῖν, ἐνίους προσουρεῖν τῷ περιφράγματι, καὶ πλησίον ἀφοδεύειν τῆς οἰκοδομῆς, ὥστε διοχλεῖσθαι τοὺς ἐργαζομένους. Ἔγραψεν οὖν ὁ Πεισίστρατος, ὡς ἄν τις ἁλῷ θακεύων ἐν τῷ τεμένει, ἑαυτὸν αἰτιάσεται. Τῶν δ' οὐ παυομένων, ἀλλὰ καταγελώντων τοῦ πράγματος, καὶ πλειόνων ταῦτα ποιούντων, φύλακας κατέστησε· ληφθέντος δὲ τινὸς οὐ τῶν πολιτῶν ἀλλὰ τῶν μετοίκων, ἐκέλευσε δήσαντας αὐτὸν μαστιγοῦν κηρύσσοντας· ἀποθανεῖται ὅς κατηγορεῖ τοῦ γράμματος (Ἡσύχιος). — β) Ἡ γραφὴ ἀσεβείας ἠσκεῖτο, εἴτε κατὰ τοῦ παραβιάζοντος τὴν δημοσίαν λατρείαν, εἴτε κατὰ τοῦ εἰσάγοντος νέους θεούς. Αἱ περιπτώσεις τῶν παραβάσεων τούτων εἶναι λίαν ἐκτεταμέναι, οὕτω ἐν μὲν τῇ πρώτῃ περιπτώσει, περιλαμβάνεται ἡ ἱεροσυλία, ἡ διατάραξις θυσιῶν καὶ ἑορτῶν, ἡ καταστροφὴ ἀγαλμάτων τῶν θεῶν καὶ πολλαὶ ἄλλαι (*Ἀνδοκίδ. Μυστηρ. 110, κ.λπ.*), ἐν δὲ τῇ δευτέρᾳ περιπτώσει, περιλαμβάνονται ἐπίσης πολλαὶ ἐνέργειαι, οὕτως ἠσκήθη ἡ γραφὴ κατὰ τοῦ Πρωταγόρα, εἰπόντος, *περὶ μὲν θεῶν οὐκ ἔχω εἰδέναι οὔθ' ὡς εἰσίν, οὔθ' ὡς οὐκ εἰσὶν* (*Διογ. Λαέρτ. Θ΄. 51*), κατὰ τοῦ Ἀναξαγόρα (*Διογ. Λαέρτ. Β΄. 8*), κατὰ τοῦ Σωκράτους ἐκ τῶν σκωμμάτων τοῦ Ἀριστοφάνους, κατὰ τῆς Ἀσπασίας καὶ ἄλλων. Ἡ γραφὴ αὕτη, δυναμένη νὰ ἀσκηθῇ παρὰ παντὸς εἰσήγετο εἰς τὸν Ἄρχοντα — Βασιλέα, καὶ ἐδικάζετο εἴτε ὑπὸ τοῦ Ἀρείου Πάγου, εἴτε ὑπὸ τῆς Ἡλιαίας. — Περικλέα ποτέ φασι παραινέσαι ὑμῖν περὶ τῶν ἀσεβούντων, μὴ μόνον χρῆσθαι τοῖς γεγραμμένοις νόμοις περὶ αὐτῶν, ἀλλὰ καὶ τοῖς ἀγράφοις (*Λυσίου—Ἀνδοκ. 10*). Διοκλῆς......συνεβούλευσε, ἄκριτον παραχρῆμα ἀποκτεῖναι τὸν ἠσεβηκότα (*Λυσίου — Ἀνδοκ. 54*). — γ) *Λυσίου — Καλλίου ἀπολογία.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



τοῦ Ἀπόλλωνος, ἑαυτὸν αἰτιάσασθαι, καὶ θνήσκειν (α). Ἀσεβείας γραφὴ (β). Ἱεροσυλίας γραφὴ (γ).

248. *Ἀδικήματα κατὰ τῶν Ἀρχῶν.* Ἐάν τις, οὔτε βουλῆς, οὔτε δήμου χειροτονήσαντος αὐτόν, ᾤχετο πρεσβεύων, θάνατος ἡ ζημία αὐτοῦ.

249. Ἐάν τις Θεσμοθέτην ἢ Ἄρχοντα ἐστεφανωμένον, ἤ τινα τούτων, οἷς ἡ πόλις τινὰ ἄδειαν ἢ στεφανοφορίαν ἤ τινα τιμὴν δῷ, ὑβρίσῃ τις ἢ πατάξῃ ἢ κακὸν εἴπῃ, ἄτιμος ἔστω καθάπαξ.

250. Ἐάν τις ἀρχὴν ἐν συνεδρίῳ λοιδορῇ ζημιοῦσθαι.

251. Ἐάν τις ὀφείλων ἄρχῃ τῷ δημοσίῳ, θάνατον ζημίαν εἶναι.

252. Ἐάν τις Ἀθηναίων λαμβάνῃ παρά τινος, ἢ αὐτὸς διδῷ ἑτέρῳ, ἢ διαφθείρῃ τινὰς ἐπαγγελλόμενος, ἐπὶ βλάβῃ τοῦ δήμου ἢ ἰδίᾳ τινὸς τῶν πολιτῶν, τρόπῳ ἢ μηχανῇ ἡτινιοῦν, ἄτιμος εἶναι καὶ παῖδες καὶ τὰ ἐκείνου.

253. Μὴ ὑποδέχεσθαι τῶν φευγόντων οὐδένα, ἢ ἐν τοῖς αὐτοῖς ἐνέχεσθαι τὸν ὑποδεχόμενον τοὺς φεύγοντας. Ἀποτίνειν δεκάβοιον.

254. Ἐάν τις ὑποσχόμενός τι, τὸν δῆμον ἐξαπατήσῃ, εἰσαγγελίαν εἶναι περὶ αὐτοῦ. Κἂν ἁλῷ, θανάτῳ ζημιοῦν.

255. Ταὐτὸν ἐὰν ἐξαπατήσῃ ἢ τὴν βουλὴν ἢ τὸ δικαστήριον.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

256. *Ἀδικήματα κατὰ τῆς ζωῆς.* Τὸν ἐκ προνοίας ἀποκτείναντα θανάτῳ ζημιοῦσθαι.

---

248. Τηνικαῦτα ὁ δεινὸς καὶ σοφὸς οὕτω καὶ εὔφωνος, οὔτε βουλῆς, οὔτε δήμου χειροτονήσαντος αὐτόν, ᾤχετο πρεσβεύων ἐς Φίλιππον, οὐθ' ὅτι τῶν τοιούτων ὁ νόμος θάνατον τὴν ζημίαν εἶναι κελεύει, ὑπολογισάμενος (*Δημοσθ. Περὶ παραπρεσβ.*).

249. Ὅτι τοὺς νόμους ἤδη ὁ τοῦτο ποιῶν προσυβρίζει καὶ τὸν ὑμέτερον κοινὸν στέφανον καὶ τὸ τῆς πόλεως ὄνομα· ὁ γὰρ θεσμοθέτης οὐδενὸς ἀνθρώπων ἔστ' ὄνομα, ἀλλὰ τῆς πόλεως (*Δημοσθ. Μειδ. 32 σελ. 524*).

250. Οἱ δὲ μετὰ Κτησικλέους τοῦ ἄρχοντος, ἀπαγγείλαντός τινος ὡς ἐγὼ λοιδοροῖμι, τοῦ νόμου ἀπαγορεύοντος, ἐάν τις ἀρχὴν ἐν συνεδρίῳ λοιδορῇ, παρὰ τὸν νόμον ζημιῶσαι ἠξίωσαν. ἐπιβαλόντες δὲ τὸ ἀργύριον (*Λυσίου — ὑπὲρ στρατιώτ. 6 καὶ 9*).

251. *Δημοσθ. Λεπτίνην.*

252. Ἴδε θέμα 298. — Ὁ μὲν νόμος οὗτος ἐστί, μὴ ἐξεῖναι δῶρα διδόναι, μήτε λαμβάνειν ἐπὶ διαφορᾷ· οὐκοῦν πρὸς ἀμφότερα χρήσιμος ἡ ἀνάγνωσις τοῦ νόμου· διότι θανάτου τῆς ζημίας ὡρισμένης κατὰ τῶν διαφθειρόντων (*Οὐλπ. ἐπὶ Μειδίου*).

253. Σὺ οὖν ἐὰν σωφρονῇς, οὐδένα τῶν φευγόντων ἐάσεις εἰς τὴν ναῦν ἀναβαίνειν· οὐ γὰρ ἐῶσιν οἱ νόμοι (*Δημοσθ. Καλλικλ.*).

254. *Δεινάρχ. Φιλοκλ. 4.*

255. *Δεινάρχ. Ἀριστογ. 12.*

256. Ἔπειτα τίμησίν μοι ἐποίησαν, ἀνταποθανεῖν τοῦ νόμου κειμένου τὸν ἀποκτείναν-

Ακαδημία Αθηνών / Academy of Athens



257. Τοὺς Θεσμοθέτας τοὺς ἐπὶ φόνῳ φεύγοντας θανάτῳ ζημιοῦν.

258. Ἐὰν δέ τις τὸν ἀνδροφόνον κτείνῃ ἢ αἴτιος ᾖ φόνου, ἀπεχόμενον ἀγορᾶς ἐφορίας καὶ ἄθλων, καὶ ἱερῶν ἀμφικτυονικῶν, ὥσπερ τὸν Ἀθηναῖον κτείναντα, ἐν τοῖς αὐτοῖς ἐνέχεσθαι, διαγιγνώσκειν δὲ τοὺς Ἐφέτας.

259. *Σύλληψις.* Τὸν ἀνδροφόνον δ' ὁρᾷ περιϊόντα ἐν τοῖς ἱεροῖς καὶ κατὰ τὴν ἀγοράν, ἀπάγειν ἔξεστιν εἰς τὸ δεσμωτήριον... ἐὰν μὲν ἁλῷ, θανάτῳ ζημιωθήσεται, ἐὰν δὲ μὴ μεταλάβῃ τὸ πέμπτον μέρος τῶν ψήφων ὁ ἀπαγαγών, χιλίας προσοφλήσει.

260. *Τίς μηνύει;* Προειπεῖν τῷ κτείναντι ἐν τῇ ἀγορᾷ ἐντὸς ἀνεψιότητος καὶ ἀνεψιοῦ, συνδιώκειν δὲ καὶ ἀνεψιῶν παῖδας, καὶ γαμβρούς, καὶ ἀνεψιούς, καὶ πενθερούς, καὶ ἀνεψιαδοῦς καὶ φράτορας.

261. *Ἀνδροληψία.* Ἐάν τις βιαίῳ θανάτῳ ἀποθάνῃ, ὑπὲρ τούτου τοῖς προσήκουσιν εἶναι τὰς ἀνδροληψίας, ἕως ἂν ἢ δίκας τοῦ φόνου ὑπόσχωσιν, ἢ τοὺς ἀποκτείναντας εἰδῶσι. Τὴν δὲ ἀνδροληψίαν εἶναι μέχρι τριῶν, πλέον δέ μή.

262. *Ἄμυνα.* Καὶ ἐὰν φέροντα ἢ ἄγοντα βίᾳ ἀδίκως εὐθὺς ἀμυνόμενος κτείνῃ, νηποινεὶ τεθνάναι.

---

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

τα (*Ἀντιφῶντος — Ἡρῴδου, 10*). — Ἀλλ' ἐνίοτε οἱ ξενικοὶ νόμοι τοὺς ἐκ προνοίας ἀποκτείναντας θανάτῳ καὶ ἀειφυγίᾳ καὶ δημεύσει τῶν ὑπαρχόντων ζημιοῦσι (*Δημοσθ. Μειδίου, 43*).

257. Οἱ θεσμοθέται τοὺς ἐπὶ φόνῳ φεύγοντας κύριοι θανάτῳ ζημιῶσαί εἰσι, καὶ τὸν ἐκ τῆς ἐκκλησίας πέρυσι πάντες ἑωρᾶτε ὑπ' ἐκείνων ἀπαχθέντα. ὡς τούτους οὖν ἀπάγειν λέγει (*Δημοσθ. Ἀριστοκρ. 37*).

258. *Δημοσθ. Ἀριστοκρ. 37, σελ. 632.* — Ὁ νόμος οὗτος ἦτο τοῦ Δράκοντος. Κατὰ τοῦτον δὲν ἠδύνατο νὰ φονευθῇ ὁ ἀνδροφόνος, ὅταν εὑρίσκετο εἰς τὴν ἀγοράν, εἰς τὰ σύνορα τῆς χώρας, εἰς τοὺς ἀγῶνας ἢ τοὺς Ἀμφικτυονικοὺς ναούς.

259. *Δημοσθ. Ἀριστοκρ. 80, σελ. 647.* — Ὁ ἐμφανιζόμενος εἰς τὴν ἀγορὰν ἀνδροφόνος, ἠδύνατο νὰ καταμηνυθῇ παρὰ τρίτου καὶ νὰ φυλακισθῇ, ἀλλ' ἐὰν ἡ μήνυσις ἀπεδεικνύετο ψευδής, ὁ μηνυτὴς κατεδικάζετο εἰς πρόστιμον χιλίων δραχμῶν. Ἴδε *Δημοσθ. Ἀριστοκρ.*

260. *Δημοσθ. Μακάρτ. 57, σελ. 1068.* — Οὐκ ἠδύνατο Ἀνδροτίων φόνου κατηγορίαν κατὰ τοῦ Διοδώρου ποιήσασθαι, μὴ ἐκ τοῦ πεφονευμένου συγγενής· αὐτοῖς γὰρ μόνοις ἐπιτρέπουσιν οἱ νόμοι (*Δημοσθ. Ἀνδροτ. σχόλ.*). — Ἴδε κατωτέρω θέμα 317.

261. Ἐὰν Ἀθηναῖος ἐφονεύετο εἰς ξένον τόπον, οἱ συγγενεῖς του ἠδύναντο νὰ συλλάβωσι τρεῖς ἄνδρας τῆς πόλεως ἐκείνης, ἵνα ἐξαναγκασθοῦν οἱ λοιποὶ νὰ παραδώσωσι τὸν φονέα, τοῦτο ἐκαλεῖτο ἀνδροληψία. Ἀνδροληψία, ἐγκλήματος εἶδος. Ἐὰν ἔξω τῆς Ἀττικῆς ἀνὴρ Ἀθηναῖος τελευτήσῃ, καὶ μὴ ἐκδιδῶσιν οἱ ἐν ἐκείνῃ τῇ πόλει ὄντες τὸν δοκοῦντα ἐν τῇ αἰτίᾳ εἶναι, ἐφεῖτο ἐκ τοῦ νόμου τρεῖς τῶν ἐκείνου πολιτῶν ἄγειν εἰς Ἀθήνας, δίκην ὑφέξοντας τοῦ φόνου (*Ἡσυχίου, Πολυδεύκ. Η. 50*).

262. Ὁ ἀμυνόμενος φονεύων δὲν τιμωρεῖται. Δίκην δ' ἐπαγόντων τινῶν αὐτῷ φόνου, παρανέγνω νόμον Ραδαμάνθυος, λέγοντος, ὡς ἂν ἀμύνηται, τῶν χειρῶν ἀδίκων ἄρξαντι, ἀθῷον εἶναι (*Ἀπολλόδωρος*). — Τῷ δέ, ἀμυνόμενος γράψαι δηλοῖ τῷ πάσχοντι διδοὺς τὴν ἐξουσίαν,

263. *Συνέπειαι φόνου.* Ἐπειδάν τις ἀπογραφῇ φόνου δίκην, εἴργεσθαι τῶν νομίμων.

264. Ἐκτὸς ἰώρου εἶναι τοὺς ἀνδροφόνους.

265. Τοὺς δ' ἀνδροφόνους ἐξεῖναι ἀποκτείνειν ἐν τῇ ἡμεδαπῇ καὶ ἀπάγειν, ὡς ἐν τῷ ἄξονι ἀγορεύει, λυμαίνεσθαι δὲ μή, μηδὲ ἀποινᾶν, ἢ διπλοῦν ὀφείλειν ὅσον ἂν καταβλάψῃ. εἰσφέρειν δὲ τοὺς ἄρχοντας, ὧν ἕκαστοι δικασταί εἰσι, τῷ βουλομένῳ. τὴν δ' ἡλιαίαν διαγιγνώσκειν.

266. *Ἀκούσιος φόνος.* Ἐάν τις ἀποκτείνῃ ἐν ἄθλοις ἄκων, ἢ ἐν ὁδῷ καθελὼν ἢ ἐν πολέμῳ ἀγνοήσας, ἢ ἐπὶ δάμαρτι ἢ ἐπὶ μητρὶ ἢ ἐπ' ἀδελφῇ ἢ ἐπὶ θυγατρί, ἢ ἐπὶ παλλακῇ, ἣν ἂν ἐπ' ἐλευθέροις παισὶν ἔχῃ, τούτων ἕνεκα μὴ φεύγειν κτείναντα.

267. Ἐάν τίς τινα τῶν ἀνδροφόνων τῶν ἐξεληλυθότων, ὧν τὰ χρήματα ἐπίτιμα, πέρα ὅρων ἐλαύνῃ ἢ φέρῃ ἢ ἄγῃ, τὰ ἴσα ὀφείλειν ὅσα περ ἂν ἐν τῇ ἡμεδαπῇ δράσῃ.

268. Τὸν ἐργασάμενον φόνον φεύγειν ὅλον ἐνιαυτὸν μὴ ψαύοντα τῆς πατρίδος.

---

οὐκ ἄλλῳ τινί. ὁ μὲν δὴ νόμος εὐθὺς ἀμυνομένῳ δέδωκεν ἀποκτεινύναι (*Δημοσθ. Ἀριστοκρ. 60, σελ. 639*).

263. Εἴργοντο δὲ ἱερῶν καὶ ἀγορᾶς οἱ ἐν κατηγορίᾳ φόνου ἄχρι κρίσεως· καὶ τοῦτο προαγόρευσις ἐκαλεῖτο (*Πολυδεύκ. Η. 66*).

264. Οἱ ἀνθρωποκτόνοι δὲν ἠδύναντο νὰ μείνουν ἐντὸς τῆς πόλεως. — Ἴωρος· ὁ θυρωρὸς (ὁ φρουρὸς τῶν ὁρίων τῆς πόλεως), ὁ φύλαξ. καὶ παροιμία· οὐδ' ἐντὸς ἰώρου. Καὶ νόμος ὁ παρ' Ἀθηναίοις, ἐκτὸς ἰώρου ἐκέλευεν εἶναι τοὺς ἀνδροφόνους (*Σουΐδας*).

265. *Δημοσθ. Ἀριστοκρ. 28, σελ. 629.* — Ὁ ἐπὶ φόνῳ καταδικασθεὶς ξένος, τιμωρεῖται μὲ θάνατον, συλλαμβάνεται καὶ φυλακίζεται κατὰ τοὺς νόμους. Ἀλλὰ δὲν ἐπιτρέπεται ἡ κακομεταχείρισις αὐτοῦ, ἢ ἡ εἴσπραξις χρημάτων παρὰ τούτου, οἱ τυχὸν παραβαίνοντες ταῦτα καταδικάζονται εἰς τὸ διπλοῦν. Πᾶς τις δύναται νὰ καταγγείλῃ τὴν παράβασιν ταύτην εἰς τοὺς Ἄρχοντας, ἵνα δικασθῶσιν εἰς τὴν Ἡλιαίαν. — Ταῦτα δέ ἐστι τί; τὸ μὲν δὴ μὴ λυμαίνεσθαι, γνώριμον οἶδ' ὅτι πᾶσι μὴ μαστιγοῦν, μὴ δεῖν, μὴ τὰ τοιαῦτα ποιεῖν λέγει, τὸ δὲ μηδ' ἀποινᾶν μὴ χρήματα πράττεσθαι· τὰ γὰρ χρήματα ἄποινα ὠνόμαζον οἱ παλαιοὶ (*Δημοσθ. Ἀριστοκρ. 33, σελ. 630*).

266. Ἐκ τῆς νομοθεσίας τοῦ Δράκοντος, (ἣν ἴδε ἀνωτέρω εἰς θεσμοὺς Δράκοντος, θέμα 7, ἔνθα καὶ ἑρμηνεία). — *Δημοσθ. Ἀριστοκρ. 53, σελ. 637.* — Ἴδε κατωτέρω θέμα 319γ.

267. *Δημοσθ. Ἀριστοκρ. 44, σελ. 634.* — Ὁ καταδιώκων πέραν τῶν ὁρίων τὸν ἐπὶ ἀκουσίῳ φόνῳ κατηγορούμενον, οὗτινος ἡ περιουσία δὲν ἐδημεύθη, τιμωρεῖται ὡσεὶ ἐκακοποίει πολίτην.

268. Ἔθος ἦν παρὰ τοῖς παλαιοῖς τὸν ἀκούσιον φόνον ἐργασάμενον φεύγειν ἐκ τῆς πατρίδος, καὶ παραγίνεσθαι εἴς τινος ἀνδρὸς πλουσίου, καὶ καθίζειν ἐπὶ τῆς ἑστίας, συγκεκαλυμμένον καθαρσίων δεόμενον (*Σχόλ. Διδύμου Ἰλιαδ. Ω, σχόλ. εἰς Εὐριπ. Ἱππόλυτον*).

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



269. Τὸν ἁλόντα ἐπ' ἀκουσίῳ φόνῳ ἐν ἐνιαυτῷ ἀπελθεῖν τακτὴν ὁδόν, καὶ φεύγειν, ἕως ἂν αἰδέσηταί τινα τῶν ἐν γένει τοῦ πεπονθότος. Ἥκειν δὲ καὶ θῦσαι, καὶ καθαρθῆναι.

270. *Αἴδεσις*. Ἐὰν δὲ αἰδέσασθαι δέῃ, ἐὰν μὲν πατὴρ ᾖ ἢ ἀδελφὸς ἢ υἱεῖς, πάντας, ἢ τὸν κωλύοντα κρατεῖν. ἐὰν δὲ τούτων μηδεὶς ᾖ, κτείνῃ δ' ἄκων, γνῶσι δ' οἱ πεντήκοντα καὶ εἷς ἄκοντα κτεῖναι, αἰδεσάσθων οἱ φράτερες, ἐὰν θέλωσι, δέκα· τούτοις δ' οἱ πεντήκοντα καὶ εἷς ἀριστίνδην αἱρείσθων. καὶ οἱ πρότερον κτείναντες ἐν τῷδε τῷ θεσμῷ ἐνεχέσθων.

271. Ἐάν τις ἐπ' ἀκουσίῳ φόνῳ πεφευγώς, μήπω τῶν ἐκβαλλόντων αὐτὸν ἠδεσμένων, αἰτίαν ἔχῃ ἑτέρου φόνου ἑκουσίου, τοῦτον ἐν πλοίῳ προσπλεύσαντα, ἐν Φρεαττοῖ λέγειν τῆς γῆς οὐχ ἁπτόμενον. Τοὺς δὲ δικαστὰς δικάζειν ἐν τῇ γῇ. Κἂν μὲν ἁλῷ, τὴν ἐπὶ τοῖς ἑκουσίοις φόνοις δίκην διδόναι, ἐὰν δ' ἀποφύγῃ, ταύτης μὲν ἀθῷον εἶναι, τὴν δὲ ἐπὶ τῷ προτέρῳ φόνῳ φυγὴν ὑπέχειν.

272. *Τραῦμα ἐκ προνοίας*. Ἂν μέν τις ἀνδρὸς σῶμα τρώσῃ ἐκ προνοίας, κεφαλὴν ἢ πρόσωπον, ἢ χεῖρας ἢ πόδας, αὐτὸς μὲν φεύξεται τὴν τοῦ ἀδικηθέντος πόλιν, τὰ δὲ χρήματα αὐτοῦ δημεύεσθαι. Καὶ ἐὰν μὲν κατίῃ, ἐνδειχθεὶς θανάτῳ ζημιωθήσεται.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

---

269. Ἐπειθ' οἱ φονικοὶ (ἐνν. νόμοι)... τοὺς δ' ἀκουσίως (ἐνν. ἀποκτιννύντας) αἰδέσεως καὶ φιλανθρωπίας πολλῆς ἠξίωσαν (*Δημοσθ. Μειδ. 44, σ. 528*).

270. *Δημοσθ. Μακάρτ. 57, σελ. 1069*. — Διὰ τοῦ νόμου τούτου παρεσχέθη τὸ δικαίωμα εἰς τοὺς στενοτέρους συγγενεῖς τοῦ φονευθέντος ἐφ' ὅσον εἶχον τὸ δικαίωμα νὰ καταμηνύουν τὸν δράστην, νὰ συμβιβάζωνται μετ' αὐτοῦ διὰ χρημάτων, ἅτινα ὠνομάζοντο ὑποφόνια ἢ ἄποινα. Ὑποφόνια τὰ ἐπὶ φόνῳ διδόμενα χρήματα τοῖς οἰκείοις τοῦ φονευθέντος ὑπὸ τοῦ τὴν αἰτίαν ἔχοντος ὅτι ἀνῄρηκεν, ἐπὶ τῷ μὴ ἐπεξέρχεσθαι μηδὲ γενέσθαι τὴν τοῦ φόνου δίκην (*Θεόφραστος 16*). Ἄποινα λύτρα, ἃ δίδωσί τις ὑπὲρ φόνου ἢ σώματος (*Σουΐδας*). — Ἡ αἴδεσις προσομοιάζει μὲ τὸ ἔθιμον τῶν Λακώνων, τὸ ψυχικόν.

271. Τὸ Φρεαττοῖ δικαστήριον, ἐν τούτῳ ἐκρίνετο εἴ τις τῶν φευγόντων ἐπ' ἀκουσίου φόνου αἰτίᾳ, δευτέραν αἰτίαν ἑκουσίου προσλάβοι. ἦν δ' ἐπὶ θαλάττῃ τὸ δικαστήριον, καὶ τὸν ἐν αἰτίᾳ προσπλεύσαντα, τῆς γῆς οὐ προσαπτόμενον ἀπὸ τῆς νεὼς ἐχρῆν ἀπολογεῖσθαι, μήτε ἀποβάθραν, μήτ' ἄγκυραν εἰς τὴν γῆν βαλλόμενον (*Πολυδ. Η. 120*). — Ἤτοι τὸ δικαστήριον τοῦτο, συνιστώμενον εἰς Πειραιᾶ, ἐδίκαζε τὸν δι' ἀκούσιον φόνον ἐν ἐξορίᾳ εὑρισκόμενον, ὑποπίπτοντα ὑστέρως καὶ εἰς ἑκούσιον φόνον. Ἐν τῇ περιπτώσει ταύτῃ ὁ κατηγορούμενος ἐδικάζετο ἐπὶ τοῦ πλοίου, διὰ νὰ μὴ μολύνῃ τὴν γῆν.

272. *Λυσίου* — *Ἀνδοκίδ. 15*. Ὅσοι ἐπιβουλεύσαντες ἀποκτεῖναί τινας ἔτρωσαν, ἀποκτεῖναι δὲ οὐκ ἠδυνήθησαν, περὶ τῶν τοιούτων τὰς τιμωρίας οὕτω μεγάλας κατεστήσαντο, ἡγούμενοι, ὑπὲρ ὧν ἐβούλευσαν καὶ προὐνοήθησαν, ὑπὲρ τούτων προσήκειν αὐτοῖς δίκην δοῦναι (*Λυσίου πρὸς Σίμωνα, 42*).

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



273. Εἴ τίς τινος ὀφθαλμὸν ἐξέλῃ, ἐξορυττέσθω τῷ αὐτῷ ἀμφοτέρῳ.

274. *Αἰκία.* Ἂν τις τύπτῃ τινά, ἄρχων χειρῶν ἀδίκων, αἰκίας δίκην εἶναι.

275. Ἂν τις τύπτῃ τὸν ἀλλότριον δοῦλον, γραφὰς εἶναι αἰκίας κατὰ τοῦ τύπτοντος.

275α. *Κάκωσις.* Αὕτη ἐγένετο κατὰ τῶν γονέων (α), ἢ κατὰ τῶν συζύγων (β), ἢ κατὰ τῶν ἐπικλήρων (γ), καὶ ἢ κατὰ τῶν ὀρφανῶν καὶ χηρῶν (δ). ἐὰν δέ τις ἀπαχθῇ τῶν γονέων κακώσεως ἡλωκὼς ἢ ἀστρατείας, ἢ προειρημένων αὐτῷ τῶν νόμων εἴργεσθαι εἰσιὼν ὅποι μὴ χρή, δησάντων αὐτὸν οἱ ἕνδεκα καὶ εἰσαγόντων εἰς τὴν ἡλιαίαν, κατηγορείτω δὲ ὁ βουλόμενος οἷς ἔξεστιν. ἐὰν δ' ἁλῷ, τιμάτω ἡ ἡλιαία ὅ τι χρὴ παθεῖν αὐτὸν ἢ ἀποτῖσαι. ἐὰν δ' ἀργυρίου τιμηθῇ, δεδέσθω τέως ἂν ἐκτίσῃ.

276. *Αὐτόχειρος ποινή.* Ἐάν τις αὑτὸν διαχρήσηται, τὴν χεῖρα τὴν τοῦτο διαπράξασαν ἀποκόπτειν, καὶ χωρὶς τοῦ σώματος θάπτειν.

277. *Ἀδικήματα κατὰ τῆς περιουσίας.* Τὸν βίᾳ ὁτιοῦν ἀφελόντα, διπλοῦν ἐκτίνειν τῷ ἰδιώτῃ, καὶ τὸ ἴσον τῷ δημοσίῳ προστιμᾶν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

273. Καὶ τὸ ἀγαπητὸν τοῖς μὲν μόνον, τοῖς δὲ μετὰ ἄλλων· διὸ καὶ οὐ ἴση ζημία ἐάν τις τὸν ἑτερόφθαλμον τυφλώσῃ, καὶ τὸν δύο ἔχοντα· ἀγαπητὸν γὰρ ἀφῄρηται (*Ἀριστοτέλης*).

274. Αἰκίας: εἶδος δίκης ἐστὶν ἰδιωτικῆς ἐπὶ πληγαῖς λαγχανομένης, ἧς τὸ τίμημα ἐν τοῖς νόμοις οὐκ ἔστιν ὡρισμένον, ἀλλ' ὁ μὲν κατήγορος τίμημα ἐπιγράφεται ὁπόσου δοκεῖ ἄξιον εἶναι τὸ ἀδίκημα, οἱ δὲ δικασταὶ ἐπικρίνουσιν (*Ἁρποκρατ., λέξ. αἰκία*). — Ἡ δ' αἰκία, τοῦτ' ἔστιν, ὃς ἂν ἄρξῃ πρότερος χειρῶν ἀδίκων (*Δημοσθ. Εὐεργ. Μνησιβ. 7, σελ. 1140.* — Ἐὰν ἐκ τῆς αἰκίας τέθνηκεν ὁ ἄνθρωπος, χώρα τῇ περὶ φόνου (*Ἀντιφ. Τετρ. Γ. α*).

275. Ἴδε ἀνωτέρω θέμα 65.

275α. *Δημοσθ. Τιμοκρ. 105.*— α) Ἴδε ἀνωτέρω θέμ. 116 καὶ 118. — *Ἀριστοφ. Ὀρνιθ. στ. 757,* 1356. — Καὶ ποιεῖν μνημόσυνα αὐτοῖς (ἴδε ἀνωτέρω θέμ. 155). — β) Κάκωσιν ὑφίσταντο αἱ γυναῖκες, αἱ κακομεταχειριζόμεναι ὑπὸ τῶν συζύγων των, ἢ ὅταν οὗτοι εἶχον σχέσεις πρὸς ἄλλας γυναῖκας (Ἱππαρέτη τοῦ Ἀλκιβιάδου, λυπουμένη δ' ὑπ' αὐτοῦ περὶ τὸν γάμον ἑταίραις ξέναις καὶ ἀσταῖς συνόντος, *Πλουτ. Ἀλκιβιάδ. 8*) ἢ ἠσέλγαινον, ἢ παρημέλουν τὰ συζυγικὰ καθήκοντα (ἴδε ἀνωτέρω θέμ. 93).— γ) Ἡ μέντοι κλῆρον οὐκ ἔχουσα πατρῷον θῆσσα καλεῖται, ἣν ὁ ἀγχιστεὺς ἐκδίδωσιν, ἂν ἑτέρᾳ συνοικῇ, ἢ πάντως γαμεῖ (*Πολυδ. Γ'. 33*). Ταὐτόν, ἐὰν ὁ σύζυγος εἶναι ἀνίκανος (ὁρῶντες γὰρ ᾧ βούλεται τὴν ἐπίκληρον συνοῦσαν ἢ προήσονται τὸν γάμον ἢ μετ' αἰσχύνης καθέξουσι φιλοπλουτίας καὶ ὕβρεως δίκην διδόντες, *Πλουτ. Σόλων XX*). — Ἴδε ἀνωτέρω θέμ. 97.—δ). Ἴδε ἀνωτέρω θέμ. 127, ἴδε καὶ *Ἰσαῖον περὶ τοῦ Ἁγνίου κλήρου,* ἔνθα ἀπολογία περὶ κακώσεως. — Ἴδε καὶ θέμ. 321 (ιβ).

276. Ἴδε ἀνωτέρω θέμα 147. — *Αἰσχίν. Κτησιφ. 244.*

277. Τὸν βιασθέντα δημοσίας δεῖσθαι βοηθείας (*Δημοσθ. Μειδ*).

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



278. *Κλοπή.* Εἰ μέν τις μεθ' ἡμέραν ὑπὲρ πεντήκοντα δραχμὰς κλέπτοι, ἀπαγωγὴν πρὸς τοὺς Ἕνδεκα εἶναι. Εἰ δέ τις νύκτωρ ὁτιοῦν κλέπτοι, τοῦτον ἐξεῖναι καὶ ἀποκτεῖναι, καὶ τρῶσαι διώκοντα, καὶ ἀπαγαγεῖν τοῖς Ἕνδεκα, εἰ βούλοιτο, τῷ δὲ ἁλόντι ὧν αἱ ἀπαγωγαὶ εἰσιν, οὐκ ἐγγυητὰς καταστήσαντι ἔκτισιν εἶναι τῶν κλεμμάτων, ἀλλὰ θάνατον τὴν ζημίαν. Καὶ εἴ τις γ' ἐκ Λυκείου ἢ ἐξ Ἀκαδημίας, ἢ ἐκ Κυνοσάργους, ἱμάτιον, ἢ ληκύθιον, ἢ ἄλλο τι φαυλότατον, ἢ τῶν σκευῶν τι, τῶν ἐκ τῶν γυμνασίων ὑφέλοιτο, ἢ ἐκ τῶν βαλανείων, ἢ ἐκ τῶν λιμένων, ὑπὲρ δέκα δραχμάς, καὶ τούτοις θάνατον εἶναι τὴν ζημίαν.

279. Κλέπτοντα σῦκα κολάζεσθαι.

280. Τοὺς βόλιτον ὑφελομένους κολάζεσθαι.

281. Ὃ μὴ κατέθηκέ τις, μὴ ἀναιρεῖσθαι, εἰ δὲ μὴ θάνατον εἶναι τὴν ζημίαν.

282. *Αὐτόφωρα.* Ἐάν τις φανερὸς γένηται βαλαντιοτομῶν, τούτῳ θάνατον εἶναι τὴν ζημίαν.

283. Ἐάν τις φανερὸς γένηται τοιχωρυχῶν, τούτῳ θάνατον εἶναι τὴν ζημίαν.

284. Ἐάν τις φανερὸς γένηται ἀνδραποδιζόμενος, τούτῳ θάνατον εἶναι τὴν ζημίαν.

285. *Ἐπιστροφὴ κλαπέντος.* Ὅ,τι ἄν τις ἀπολέσῃ, ἐὰν μὲν αὐτὸ λάβῃ, τὴν

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

---

278. Ἐν νυκτὶ μείζονα τὴν τιμωρίαν ἔδειξε, ἐπειδήπερ μεῖζον ἐστὶ τὸ ἔγκλημα τῆς νυκτός· ἐν γὰρ ἡμέρᾳ, δύναταί τις καὶ βοηθοὺς καλέσαι ἑαυτῷ· ἐν δὲ νυκτί, οὐκέτι.........Ἐν τῷ βαλανείῳ, καὶ ἐν τοῖς οὕτω κοινοῖς οὖσιν, ὥσπερ τὸ βαλανεῖον, ῥᾴδιον τῷ βουλομένῳ κακουργεῖν. οὐδὲν γὰρ ἰσχυρὸν ἔχουσι πρὸς τὴν φυλακὴν οἱ τεθέντες (*Ἀριστοτέλης.* — Ἴδε καὶ *Λυσίου — Θεομνήστου 17*). — Ἐν τῷ ρωμ. δικ. ἐπίσης ἐτιμωρεῖτο αὐστηρῶς ἡ κλοπή, ἴδε *ν. 7 Π. 13. 1,* καὶ *ν. 4 Π. 9. 2, ν. 9 Π. 48. 8, κ.λπ.* — Ἴδε καὶ θέμ. 1 τῶν ἀνωτέρω θεσμῶν τοῦ Δράκοντος, καὶ Πλάτων. *Νόμον ΙΑ'.*

279. Τὸ γὰρ παλαιὸν τίμια παρ' Ἀθηναίοις ἦν τὰ σῦκα, καὶ εἴ τις διεβλήθη κλέπτων σῦκα ἐκολάζετο *(Σουΐδας).*

280. Βόλιτον, ἤτοι κόπρον βοῶν.

281. Ο ἀφαιρῶν πρᾶγμα, ὅπερ δὲν τῷ ἀνήκει, τιμωρεῖται μὲ θάνατον. — Ὁ μὴ κατέθηκέ τις, οὐκ ἀναιρήσεται· κἂν ὁ μὴ κατέθηκεν, ἀνέληται, εἰσὶ κολάσεις οὐχ οἷαι παρ' ἑτέροις, ἀλλ' ἐπὶ τὸ μεῖζον. (*Διογέν. Λαέρτ. εἰς Σόλωνα*). — Βίβλιος ἀνὴρ ἐν ὁδῷ περιτυχών, οὐδὲν ὧν μὴ κατέθετο ἀναιρεῖται· οὐ γὰρ ἡγεῖται τὸ τοιοῦτον εὕρημα, ἀλλ' ἀδίκημα (*Αἰλιανοῦ Δ', 1*).

282. Τὰ βαλάντια ταῖς ζώναις ἀπηωρημένα φέρουσιν ἄνθρωποι *(Ἀριστοφ. Βάτραχοι).*

283. Τοιχωρυχῶν, ὁ σκάπτων τοίχους οἰκοδομῶν ἵνα εἰσέλθῃ εἰς αὐτὰς καὶ κλέψῃ.

284. Ἀνδραποδιζόμενος, ἤτοι ὁ πωλῶν ἑαυτὸν ὡς δοῦλον.

285. Ὁ Σόλων ἐτροποποίησε τὸν νόμον τοῦ Δράκοντος, δι' οὗ ἐπεβάλλετο ποινὴ τοῦ θανάτου. Κατὰ τοῦτον, ὁ ἐπιστρέφων τὸ κλαπέν, κατεδικάζετο εἰς τὴν πληρωμὴν τοῦ διπλασίου τῆς ἀξίας τοῦ κλαπέντος, ἀλλ' ἐὰν ἡ κλοπὴ διεπράχθη διὰ προτροπῆς τινος, ἐπεβάλλετο ποινὴ εἰς

Ακαδημία Αθηνών / Academy of Athens

πλασίαν καταδικάζειν, ἐὰν δὲ μή, τὴν δεκαπλασίαν, πρὸς τοῖς ἐπαιτίοις. δεδέσθαι δ' ἐν τῇ ποδοκάκκῃ τὸν πόδα πένθ' ἡμέρας καὶ νύκτας ἴσας, ἐὰν προστιμήσῃ ἡ ἡλιαία. προστιμᾶσθαι δὲ τὸν βουλόμενον, ὅταν περὶ τοῦ τιμήματος ᾖ.

286. *Κλεπταποδόχος.* Τοὺς τὰ ἀπολλύμενα τοῖς κλέπταις συνειδότας, τοῖς αὐτοῖς ἐνέχεσθαι.

287. *Ἀδικήματα κατὰ τῆς τιμῆς. Ἐξύβρισις.* Ζῶντα δὲ κακῶς λέγειν ἐκώλυσε πρὸς ἱεροῖς καὶ δικαστηρίοις καὶ ἀρχείοις καὶ θεωρίας οὔσης ἀγώνων· ἢ τρεῖς δραχμὰς τῷ ἰδιώτῃ, δύο δ' ἄλλας ἀποτίνειν εἰς τὸ δημόσιον ἔταξε (α). — Τὸν τεθνηκότα μὴ κακῶς ἀγορεύειν (β).

288. Ἀνδροφόνον μὴ λέγειν.

289. Ἐάν τις ὑβρίσῃ εἴς τινα, ἢ παῖδα ἢ γυναῖκα ἢ ἄνδρα, τῶν ἐλευθέρων ἢ τῶν δούλων, ἢ παράνομόν τι ποιήσῃ εἰς τούτων τινά, γραφέσθω πρὸς τοὺς θεσμοθέτας ὁ βουλόμενος Ἀθηναίων οἷς ἔξεστιν, οἱ δὲ θεσμοθέται εἰσαγόντων εἰς τὴν ἡλιαίαν τριάκοντα ἡμερῶν ἀφ' ἧς ἂν ᾖ ἡ γραφή, ἐὰν μή τι δημόσιον κωλύῃ, εἰ δὲ μή, ὅταν ᾖ πρῶτον οἷόν τε. ὅτου δ' ἂν καταγνῷ ἡ ἡλιαία, τιμάτω περὶ αὐτοῦ παραχρῆμα, ὅτου ἂν δοκῇ ἄξιος εἶναι παθεῖν ἢ ἀποτῖσαι. ὅσοι δ' ἂν γράφωνται γραφὰς ἰδίας κατὰ τὸν νόμον, ἐάν τις μὴ ἐπεξέλθῃ ἢ ἐπεξιὼν μὴ μεταλάβῃ τὸ πέμπτον μέρος τῶν ψήφων, ἀποτισάτω χιλίας δραχμὰς τῷ δημοσίῳ. ἐὰν δὲ ἀργυρίου τιμηθῇ τῆς ὕβρεως, δεδέσθω, ἐὰν ἐλεύθερον ὑβρίσῃ μέχρις ἂν ἐκτίσῃ.

290. Ἐάν δέ τις φάσκῃ ἀποβεβληκέναι τὴν ἀσπίδα, ὑπόδικον εἶναι.

---

τὸν προτρέψαντα ἴση πρὸς τὸ δεκαπλάσιον τῆς ἀξίας, πρὸς δὲ ἐδένετο οὗτος εἰς τὴν ποδοκάκκην ἐπὶ πενθήμερον. Τὴν ποινὴν ταύτην ἠδύνατο νὰ ζητήσῃ πᾶς πολίτης. — Δεθέντα δὲ πρὸς τούτῳ τῷ τιμήματι ἐν αἰσχύνῃ ἤδη ζῆν τὸν ἄλλον βίον (*Δημοσθ. Τιμοκρ. 105, σελ. 733*).

286. Ἐάν τις κλεμμίδιον ὁτιοῦν ὑποδέχηται, γινώσκων, τὴν αὐτὴν ὑπεχέτω δίκην τῷ κλέψαντι (*Πλάτων*).

287. α) Τὸ γὰρ μηδαμοῦ κρατεῖν ὀργῆς ἀπαίδευτον καὶ ἀκόλαστον· τὸ δὲ πανταχοῦ χαλεπόν, ἐνίοις δὲ καὶ ἀδύνατον· δεῖ δὲ πρὸς τὸ δυνατὸν γράφεσθαι τὸν νόμον, εἰ βούλεται χρησίμως ὀλίγους, ἀλλὰ μὴ πολλοὺς ἀχρήστως κολάζειν (*Πλουτ. Σόλων XXI*). — β) Ἴδε ἀνωτέρω θέμα 2. — Ἴδε *ν. 7 § 8 Π. 47. 10* καὶ *ν. 9 Εἰσηγ. 4. 4.*

288. Οὐκ ἔστι τῶν ἀπορρήτων, ἐάν τις εἴπῃ τὸν πατέρα ἀπεκτονέναι· τὸν γὰρ νόμον οὐ ταῦτ' ἀπαγορεύειν, ἀλλ' ἀνδροφόνον οὐκ ἐᾶν λέγειν. ἐγὼ δὲ οἶμαι ὑμᾶς, ὦ ἄνδρες δικασταί, οὐ περὶ τῶν ὀνομάτων διαφέρεσθαι, ἀλλὰ τῆς τούτων διανοίας, καὶ πάντας εἰδέναι ὅτι, ὅσοι [ἀπεκτόνασί τινας, καὶ ἀνδροφόνοι τῶν αὐτῶν εἰσι, καὶ ὅσοι] ἀνδροφόνοι εἰσί, καὶ ἀπεκτόνασί τινα *πολὺ γὰρ ἂν ἔργον ἦν τῷ νομοθέτῃ ἅπαντα τὰ ὀνόματα γράφειν, ὅσα τὴν αὐτὴν δύναμιν ἔχει· ἀλλὰ περὶ ἑνὸς εἰπὼν περὶ πάντων ἐδήλωσεν.* (*Λυσίου — Θεομν. 6/7*).

289. *Δημοσθ. Μειδίου 47, σελ. 529. — Αἰσχίν. Τιμοκρ. 16.* — Ἴδε *Πανδ. 47. 16*, καὶ *ν. 4. Κ. 9. 35.*

290. Διότι ἐθεωρεῖτο ἀτιμωτικὴ ἡ πρᾶξις τοῦ ῥιψάσπιδος. (*Λυσίου - Θεομν. Α' 12*).

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



291. Τοὺς λέγοντάς τι τῶν ἀπορρήτων, πεντακοσίας δραχμὰς ὀφείλειν.

292. *Ἀπόδειξις ἀληθείας*. Τὸν λέγοντα κακῶς, ἐὰν μὴ ἀποφαίνῃ ὡς ἐστὶν ἀληθῆ τὰ εἰρημένα, ζημιοῦσθαι.

293. *Ψευδὴς καταμήνυσις*. Εἰ μὲν τ' ἀληθῆ μηνύσειέ τις εἶναι τὴν ἄδειαν, εἰ δὲ τὰ ψευδῆ τεθνάναι.

294. Τοὺς ἀπάγοντας εἰς τὸ δεσμωτήριόν τινας ἐπὶ δίκῃ κλοπῆς, χιλίας διδόναι δραχμὰς τοὺς ἁλόντας.

295. *Συκοφαντία*. Μὴ φαίνειν, εἰ μὴ πιστεύει τις αὐτῷ δείξειν ἐν τοῖς δικασταῖς τὰ γεγενημένα, περὶ ὧν ποιεῖται τὴν φάσιν· ἐὰν δέ τις παρ' αὐτὰ ποιῇ τῶν συκοφαντούντων, ἔνδειξιν αὐτῶν εἶναι καὶ ἀπαγωγήν.

296. Ἐάν τίς τινα φήνας ἢ γραψάμενος γραφάς, μὴ ἐπεξίῃ, ἢ ἐπεξιὼν μὴ μεταλάβῃ τὸ πέμπτον μέρος τῶν ψήφων, χιλίας ἀποτίνειν, καὶ τὸ λοιπὸν μὴ φαίνειν, μηδὲ γράφεσθαι, μηδ' ἀφηγεῖσθαι.

297. Καὶ σύκων ἐξαγωγὴ τὸ παλαιὸν ἀπείρητο καὶ τὸ φαίνειν ἐνδεικνύμενον τοὺς ἐξάγοντας κληθῆναι συκοφάντας.

---

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

291. Ὥστε καὶ περὶ τῆς κακηγορίας νόμον ἔθεσαν, ὃς κελεύει τοὺς λέγοντάς τι τῶν ἀπορρήτων πεντακοσίας δραχμὰς ὀφείλειν (*Ἰσοκρατ. Λοχίτου 3, σελ. 396*).

292. Ὅτι ὁ νομοθέτης οὐδεμίαν συγγνώμην ὀργῇ δίδωσιν, ἀλλὰ ζημιοῖ τὸν λέγοντα, ἐὰν μὴ ἀποδεικνύῃ ἀληθῆ (*Λυσίου — Θεομνήστου, 20, καὶ Θεομνήστου Β΄. 11*).

294. Ὁ μὴ δυνηθεὶς νὰ ἀποδείξῃ τὴν κατηγορίαν τῆς κλοπῆς καταδικάζεται εἰς πρόστιμον χιλίων δραχμῶν. — Ἐὰν πολλὰς ὁδοὺς δῷ διὰ τῶν νόμων ἐπὶ τοὺς ἠδικηκότας, οἷον τῆς κλοπῆς. ἔρρωσαι καὶ σαυτῷ πιστεύεις· ἄπαγε· ἐν χιλίαις δ' ὁ κίνδυνος. ἀσθενέστερος εἶ· τοῖς ἄρχουσιν ἐφηγοῦ· τοῦτο ποιήσουσιν ἐκεῖνοι. φοβεῖ καὶ τοῦτο· γράφου, καταμέμφει σεαυτὸν καὶ πένης ὢν οὐκ ἂν ἔχοις χιλίας ἐκτῖσαι· δικάζου κλοπῆς πρὸς διαιτητήν, καὶ οὐ κινδυνεύσεις. (*Δημοσθ. Ἀνδροτ. 26, σελ. 601*). — (Ἀλλ' ἐὰν ἐδικάζοντο ὑπὸ διαιτητῶν, οἱ στερούμενοι ἀποδείξεων, δὲν κατεδικάζοντο εἰς πρόστιμον).

295. Ἴδε θέμα 215 καὶ 406. — Διότι οὐδὲν δεινότερον τῆς συκοφαντίας, δι' ἧς πᾶς ὁ τῆς πόλεως καὶ τῶν νόμων κόσμος συνταράττεται καὶ διαφθείρεται (*Δημοσθ. Ἀριστογ. Α. 19*). Σόλωνα μὲν γάρ... προστάτην ἠξίωσαν τῆς πόλεως εἶναι, περὶ δὲ τῶν συκοφαντῶν χαλεπωτέρους ἢ περὶ τῶν ἄλλων τοὺς νόμους ἔθεσαν. τοῖς μὲν γὰρ μεγίστοις τῶν ἀδικημάτων ἐν ἑνὶ τῶν δικαστηρίων τὴν κρίσιν ἐποίησαν, κατὰ δὲ τούτων γραφὰς μὲν πρὸς τοὺς θεσμοθέτας, εἰσαγγελίας δ' εἰς τὴν βουλήν, προβολὰς δ' ἐν τῷ δήμῳ, νομίζοντες τοὺς ταύτῃ τῇ τέχνῃ χρωμένους ἁπάσας ὑπερβάλλειν τὰς πονηρίας. τοὺς μὲν γὰρ ἄλλους πειρᾶσθαί γε λανθάνειν κακουργοῦντας, τούτους δ' ἐν ἅπασιν ἐπιδείκνυσθαι τὴν αὑτῶν ὠμότητα καὶ μισανθρωπίαν καὶ φιλαπεχθημοσύνην (*Ἰσοκρ. Ἀντίδ. ΚΗ΄ 314*). — Ἴδε ἰδίᾳ *Αἰσχίν. Παραπρεσβ. 145 καὶ 177*.

296. Ἴδε ἀνωτέρω θέμα 216.

297. *Πλουτ. Σόλων, XXIV*.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



298. *Δωροδοκία.* Τοὺς δωροδοκοῦντας ἢ θανάτῳ ζημιοῦσθαι ἢ δεκαπλοῦν τοῦ ἐξ ἀρχῆς λήμματος ἐκτίνειν.

299. Ἐάν τις συνιστῆται ἢ συνδεκάζῃ τὴν Ἡλιαίαν, ἢ τῶν δικαστηρίων τι τῶν Ἀθήνησιν, ἢ τὴν βουλὴν ἐπὶ δωροδοκίᾳ χρήματα διδούς, ἢ δεχόμενος, ἢ ἑταιρίαν συνιστῇ ἐπὶ καταλύσει τοῦ δήμου, ἢ συνήγορος ὢν λαμβάνῃ τὰ χρήματα ἐπὶ ταῖς δίκαις, ἢ ἰδίαις, ἢ δημοσίαις, τούτων εἶναι τὰς γραφὰς πρὸς τοὺς Θεσμοθέτας.

300. *Ἀδικήματα κατὰ τῶν ἠθῶν. Μοιχεία.* Ἐάν τις μοιχὸν λάβῃ ἐν ἔργῳ, ἄρθρα ἐν ἄρθροις ἔχοντα, ὅ τι ἂν βούληται χρῆσθαι.

301. Ἐάν τις ἀδίκως εἵρξῃ ὡς μοιχόν, γράφεσθαι πρὸς τοὺς Θεσμοθέτας

---

298. Ἴδε θέμα 252. — *Δειvάρχ. Ἀριστογ. 17, Δημοσθ. 47.* — Ἀλλ' οἱ νόμοι περὶ μὲν τῶν ἄλλων ἀδικημάτων τῶν εἰς ἀργυρίου λόγον ἀνηκόντων διπλῆν τὴν βλάβην ὀφλεῖν κελεύουσι, περὶ δὲ τῶν δωροδοκούντων δύο μόνον τιμήματα πεποιήκασιν, ἢ θάνατον, ἵνα ταύτης τυχὼν τῆς ζημίας ὁ λαβὼν παράδειγμα γένηται τοῖς ἄλλοις. ἢ δεκαπλοῦν τοῦ ἐξ ἀρχῆς λήμματος τὸ τίμημα τῶν δώρων, ἵνα μὴ λυσιτελήσῃ τοῖς τοῦτο τολμῶσι ποιεῖν (*Δειvάρχ. Δημοσθέν. 60, Λυσίου — Δωροδοκίας*).

299. Οἱ Θεσμοθέται ὑπεχρεοῦντο νὰ εἰσάγουν εἰς τὴν Βουλὴν τῶν πεντακοσίων, ἢ τῆς συνελεύσεως τοῦ λαοῦ, τὰ πολιτικὰ ἐγκλήματα, τὰ ὁποῖα ἔθετον εἰς κίνδυνον τὴν πολιτείαν. — Ἀριστοτέλης δ' ἐν Ἀθηναίων πολιτείᾳ Ἄνυτόν φησι καταδεῖξαι τὸ δεκάζειν τὰ δικαστήρια (*Ἁρποκρατ., λέξ. Δεκάζων*).

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

300. Ο νόμος τοῦ Δράκοντος ἐπέβαλλε τὴν ποινὴν τοῦ θανάτου εἰς πάντα μοιχόν, ἀλλ' ὁ Σόλων, προσέθηκεν ὅτι τότε μόνον θανατοῦται ἐὰν συλληφθῇ οὗτος, *ἐν ἔργῳ ἄρθρα ἐν ἄρθροις ἔχοντα*, καὶ τοῦτο, διότι ἐνδεχομένως ὁ θεωρούμενος ὡς μοιχός, νὰ ἦτο ἀνίκανος (πῶς γὰρ ἂν εὐνοῦχος μοιχεύσειεν ὁ μὴ χρῆσθαι δυνάμενος, μηδὲ τὸ γένος ἀμφίβολον ποιῶν, *Ἑρμογέν.*), εἰ καὶ κατὰ τὸν αὐτὸν Ἑρμογένη, μηδὲν διαφέρει πρὸς τὸ εἶναι αὐτὸν μοιχόν, εἴτε δυνατὸν χρήσασθαι, εἴτε μή· τὴν γὰρ προαίρεσιν ἐξετάζειν δεῖ. — Κατὰ τὸν Λυσίαν, διαρρήδην εἴρηται τούτου μὴ καταγινώσκειν φόνον, ὃς ἂν ἐπὶ δάμαρτι τῇ ἑαυτοῦ μοιχὸν λαβὼν ταύτην τὴν τιμωρίαν ποιήσεται. καὶ οὕτω σφόδρα ὁ νομοθέτης ἐπὶ ταῖς γαμεταῖς γυναιξὶ δίκαια ταῦτα ἡγήσατο εἶναι, ὥστε καὶ ἐπὶ ταῖς παλλακαῖς ταῖς ἐλάττονος ἀξίαις τὴν αὐτὴν δίκην ἐπέθηκε. καίτοι δῆλον ὅτι, εἴ τινα εἶχε ταύτης μείζονα τιμωρίαν ἐπὶ ταῖς γαμεταῖς ἐποίησεν ἂν (*Λυσίου — Ἐρατοσθ. 30, 36, κατ' Ἀγοράτου 66*). Ἔθος ἦν τὸν ἁλόντα μοιχείας παρατίλλεσθαι, ἵνα δοὺς ἀργύριον ποινῆς λυθῇ. Παρατίλλεται οὖν, διασείεται, τὰς τρίχας τοῦ πρωκτοῦ τίλλεται· αὕτη ὥριστο δίκη τοῖς μοιχοῖς πένησιν, ἀποραφανίδωσις καὶ παρατιλμός. οἱ γὰρ πλούσιοι χρήματα παρέχοντες ἀπελύοντο. Παρατίλλεται οὖν φησὶ διὰ τὸ μὴ δύνασθαι χρήμασι λυτροῦσθαι τὴν πυγήν, δημοσίᾳ γὰρ ταῦτα ἔπασχον (*Σχόλ. Ἀριστοφ. Πλοῦτος*). — Ἴδε καὶ *Λυσίαν — Ἐρατοσθ. 24 ἐπ. ἔνθα* ἑρμηνεία τοῦ νόμου τούτου. — Καὶ *ν. 23. Π. 48. 5* καὶ *Κ. 9. 13.*

301. Ο φυλακισθεὶς ἐπὶ μοιχείᾳ, δύναται, ἀναφερόμενος εἰς τοὺς Θεσμοθέτας, ὅτι συκοφαντεῖται, νὰ ἀποφυλακισθῇ ἐὰν παράσχῃ ἐγγύησιν μέχρις ἐκδικάσεως τῆς ὑποθέσεως, καὶ νὰ ἀθῳωθῇ, ὑπὸ τοῦ δικαστηρίου, ἐὰν ἀποδείξῃ ὅτι ἐσυκοφαντήθη. Ἀλλ' ἐὰν ἀπεδεικνύετο ἡ ἐνοχή του, κατεδικάζετο εἰς χρηματικὴν ποινὴν ἢ φυλάκισιν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



ἀδίκως εἱρχθῆναι, κἂν μὲν ἕλῃ τὸν εἵρξαντα καὶ δόξῃ ἀδίκως ἐπιβεβουλεῦσθαι, ἀθῷον, εἶναι αὐτόν, καὶ τοὺς ἐγγυητὰς ἀπηλλάχθαι τῆς ἐγγύης. Ἐὰν δὲ δόξῃ μοιχὸς εἶναι, παραδοῦναι αὐτὸν τοὺς ἐγγυητὰς τῷ ἁλόντι. Ἐπὶ δὲ τοῦ δικαστηρίου ἄνευ ἐγχειριδίου χρῆσθαι, ὅ τι ἂν βουληθῇ ὡς μοιχῷ ὄντι.

302. Τὴν γυναῖκα ἐφ' ᾗ ἂν ἁλῷ μοιχός, μὴ ἐξεῖναι κοσμεῖσθαι, ἐὰν δὲ κοσμῆται, τὸν ἐντυχόντα καταρρηγνύναι τὰ ἱμάτια, καὶ τὸν κόσμον ἀφαιρεῖσθαι, καὶ τύπτειν, εἰργόμενον θανάτου, καὶ τοῦ ἀνάπηρον ποιῆσαι.

303. Ἐπειδὰν δὲ ἕλῃ τὸν μοιχόν, μὴ ἐξέστω τῷ μοιχῷ συνοικεῖν τῇ γυναικί, ἐὰν δὲ συνοικῇ ἄτιμος ἔστω. Μηδὲ τῇ γυναικὶ ἐξεῖναι εἰσιέναι εἰς τὰ ἱερὰ τὰ δημοτελῆ, ἐφ' ᾗ ἂν μοιχὸς ἁλῷ, ἐὰν δὲ εἰσίῃ νηποινεὶ πασχέτω ὅ τι ἂν πάσχῃ, πλὴν θανάτου.

304. Μὴ ἐπὶ ταύταις μοιχὸν λαβεῖν, ὁπόσαι ἂν ἐπ' ἐργαστηρίου κάθωνται, ἢ ἐν τῇ ἀγορᾷ πωλῶσί τι ἀποπεφασμένως. Ὅσαι δὲ πεφασμένως πωλοῦνται καὶ οἰκῆος καὶ βλάβης τὴν δούλην εἶναι ὀφείλειν.

305. *Βιασμός*. Ἐὰν ἁρπάσῃ τις ἐλευθέραν γυναῖκα, καὶ βιάσηται, ζημίαν ἑκατὸν δραχμὰς διδόσαι.

306. Τὸν βιασάμενον κόρην χιλίας διδόναι.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

---

302. Ὁ δὲ Σόλων ὁ τῶν νομοθετῶν ἐνδοξότατος γέγραφεν ἀρχαίως καὶ σεμνῶς περὶ τῆς τῶν γυναικῶν εὐκοσμίας. Τὴν γὰρ γυναῖκα ἐφ' ᾗ ἂν ἁλῷ μοιχὸς οὐκ ἐᾷ κοσμεῖσθαι, οὐδὲ εἰς τὰ δημοτελῆ ἱερὰ εἰσιέναι, ἵνα μὴ τὰς ἀναμαρτήτους τῶν γυναικῶν ἀναμειγνυμένη διαφθείρῃ· ἐὰν δ' εἰσίῃ ἢ κοσμῆται, τὸν ἐντυχόντα κελεύει καταρρηγνύναι τὰ ἱμάτια καὶ τὸν κόσμον ἀφαιρεῖσθαι καὶ τύπτειν, εἰργόμενον θανάτου καὶ τοῦ ἀνάπηρον ποιῆσαι, ἀτιμῶν τὴν τοιαύτην γυναῖκα καὶ τὸν βίον ἀβίωτον αὐτῇ παρασκευάζων (*Αἰσχίν. Τιμάρχ. 183*).

303. *Δημοσθ. Νεαίρ. 87, σελ. 1374.* — Ἐγὼ δὲ λέγω ὑμῖν, ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ, παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχᾶσθαι· καὶ ὃς ἀπολελυμένην γαμήσῃ, μοιχᾶται (*Εὐαγγ. Ματθ. κεφ. 5 στιχ. 32, καὶ κεφ. 19 στιχ. 9*). Ἴδε ρωμ. δικ. *ν. 13 Κ. 6.35 καὶ ν. 2 Κ. 9. 9, κ.λπ*).

304. Ὁ ἐκ καταστήματος πορνείας λαμβάνων γυναῖκα, ἢ ἐκ τῶν προσφερομένων δημοσίᾳ τοιούτων, δὲν θεωρεῖται μοιχός. Τὸ μὲν πεφασμένως ἐστὶ φανερῶς πωλεῖσθαι καὶ βαδίζειν, τὸ δὲ οἰκῆος θεράποντος *(Λυσίας)*.

305. Μὴ σπανίζοντος τότε τοῦ νομίσματος ἐν τῇ πόλει, μεγάλας ἐποίει τὰς ἀργυρικὰς ζημίας τὸ δυσπόριστον (*Πλουτ. Σόλων, 23*). — Βίνειν, παρὰ Σόλωνι τὸ βίᾳ μίγνυσθαι· τὸ δὲ κατὰ νόμον ὀπυίειν (Ἡσύχιος).

306. Νόμος τὸν ἐξιόντα στρατηγὸν εἰς πόλεμον, εἰ ἔχει θυγατέρα, παρατίθεσθαι τῷ συστρατηγῷ, τὴν θυγατέρα λαβὼν ἐκεῖνος ἐβιάσατο. Ἐπανελθὼν ὁ στρατηγὸς κρίνει αὐτὸν ὡς δημοσίων ἀδικημάτων, ὁ δὲ ὡς βιασάμενος τὰς χιλίας διδόναι (*Συριανὸς εἰς Ἑρμογένην*).

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

307. Ἐάν τις γυναῖκα αἰσχύνῃ βίᾳ, διπλῆν τὴν βλάβην ὀφείλειν.

308. *Προαγωγεία.* - *Ἑταίρησις.* Ἐάν τις ἐλεύθερον παῖδα ἢ γυναῖκα προαγάγῃ, τὸν προαγωγὸν γράφεσθαι, κἂν ἁλῷ, θανάτῳ ζημιοῦσθαι.

309. Ἐάν τινα ἐκμισθώσῃ ἑταιρεῖν πατὴρ ἢ ἀδελφὸς ἢ θεῖος ἢ ἐπίτροπος, ἢ ὅλως τῶν κυρίων τις, κατ' αὐτοῦ μὲν τοῦ παιδὸς γραφὴν ἑταιρήσεως οὐκ εἶναι, κατὰ δὲ τοῦ μισθώσαντος καὶ τοῦ μισθωσαμένου, τοῦ μὲν ὅτι ἐξεμίσθωσε, τοῦ δὲ ὅτι ἐμισθώσατο, ἴσα τὰ ἐπιτίμια ἑκατέρῳ εἶναι. Καὶ μὴ ἐπάναγκες εἶναι τῷ παιδὶ ἡβήσαντι, τρέφειν τὸν πατέρα, μηδὲ οἴκησιν παρέχειν, ὃς ἂν ἐκμισθωθῇ ἑταιρεῖν, ἀποθανόντα δὲ θαπτέτω, καὶ τ' ἄλλα ποιείτω τὰ νομιζόμενα.

310. Ἄν τις Ἀθηναῖος ἑταιρήσῃ, μὴ ἐξέστω αὐτῷ τῶν ἐννέα ἀρχόντων γενέσθαι, μηδὲ ἱερωσύνην ἱεράσασθαι, μηδὲ συνδικῆσαι τῷ δήμῳ, μηδὲ ἀρχὴν ἀρχέτω μηδεμίαν, μήτε ἔνδημον μήτε ὑπερόριον, μήτε κληρωτήν, μήτε χειροτονητήν, μηδ' ἐπὶ κηρυκείαν ἀποστελλέσθω, μηδὲ γνώμην λεγέτω, μήδ' εἰς τὰ δημοτελῆ ἱερὰ εἰσίτω, μήδ' ἐν ταῖς κοιναῖς στεφανηφορίαις στεφανούσθω, μηδ' ἐντὸς τῶν τῆς ἀγορᾶς περιραντηρίων πορευέσθω. Ἐὰν δὲ τις ταῦτα ποιῇ, καταγνωσθέντος αὐτοῦ ἑταιρεῖν θανάτῳ ζημιούσθω.

311. *Ψευδομαρτυρία.* Ὁ μαρτυρήσας τὰ ψευδῆ ὑπόδικος ἔστω τῶν ψευδομαρτυριῶν, καὶ ὁ προβαλλόμενος τῶν κακοτεχνιῶν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

---

307. Ὁ μοιχὸς ἐτιμωρεῖτο μὲ θάνατον, ὁ δὲ βιάσας γυναῖκα, μὲ διπλῆν μόνον ποινήν, ἤτοι φυλάκισιν καὶ πρόστιμον, διότι ἡ προσβληθεῖσα διατηρεῖ τὴν ἠθικὴν καὶ τὴν ἀρετήν της. — Μόνους γοῦν τοὺς μοιχοὺς νομίζουσι πολλαὶ τῶν πόλεων νηποινεὶ ἀποκτείνειν, δῆλον ὅτι διὰ ταῦτα ὅτι λυμαντῆρας αὐτοὺς νομίζουσι τῆς τῶν γυναικῶν φιλίας πρὸς τοὺς ἄνδρας εἶναι. Ἐπεὶ ὅταν γε ἀφροδισιασθῇ κατὰ συμφοράν τινα γυνή, οὐδὲν ἧττον τούτου ἕνεκεν τιμῶσιν αὐτὰς οἱ ἄνδρες, ἐάνπερ ἡ φιλία δοκῇ αὐτοῖς ἀκήρατος διαμένειν (*Ξενοφ. Ἱέρων III, 3*). Ἴδε καὶ *Λυσίου — Ἐρατοσθένους φόνου 32*.

308. Ἐν ἀρχῇ ὁ Σόλων ὥρισε, κἂν τις προαγωγεύῃ, ζημίαν εἴκοσι δραχμῶν ἔταξε (*Πλουτ. Σόλων, 23*), βραδύτερον ὅμως λόγῳ τῶν πολλῶν καταχρήσεων, ἐπέβαλε τὴν ποινὴν τοῦ θανάτου (*Αἰσχίν. Τιμάρχ. 184 καὶ 14, Λυσίου — Ἐρατοσθ. 32*).

309. *Αἰσχίν. Τιμάρχου, 87, 163, 164.* — Ἡ ποινὴ ἐπεβάλλετο κατὰ τοῦ μισθωσαμένου καὶ κατὰ τοῦ μισθωτοῦ, ἀλλ' οὐχὶ καὶ κατὰ τοῦ μισθωθέντος παιδός.

310. *Αἰσχίν. Τιμάρχου 21, 187 ἐπ.*

311. *Ἀνδοκίδ. Μυστηρ. 74. — Δημοσθ. Εὐεργ. Μνησιβ. 1 σελ. 1139.* Καλῶς μοὶ δοκοῦσιν οἱ νόμοι ἔχειν, ὦ ἄνδρες δικασταί, οἱ ὑπόλοιπον ἀγῶνα ἀποδιδόντες ταῖς δίκαις τῶν ψευδομαρτυριῶν, ἵν' εἴ τις μάρτυρας τὰ ψευδῆ μαρτυροῦντας παρασχόμενος, ἢ προκλήσεις μὴ γενομένας ἢ μαρτυρίας παρὰ τὸν νόμον μαρτυρηθείσας ἐξηπάτησε τοὺς δικαστάς, μηδὲν αὐτῷ πλέον γένηται, ἀλλ' ἐπισκηψάμενος ταῖς μαρτυρίαις ὁ ἀδικηθεὶς καὶ εἰσελθὼν εἰς ὑμᾶς καὶ ἐπιδείξας περὶ

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



312. *Διαφθορὰ νομίσματος.* Ἐάν τις τὸ νόμισμα διαφθείρῃ, θάνατον τὴν ζημίαν εἶναι.

313. *Ὁπλοφορία.* Ὅστις ἐν ἄστει σιδηροφοροίη μηδὲν δέον ἢ ὅπλα ἐξενέγκοι εἰς τὸ δημόσιον, τιμᾶσθαι.

314. *Ἀχαριστία.* Ἐξεῖναι ἀχαριστίας δικάζεσθαι κατὰ τοὺς εὐεργέτας μὴ ἀντευποιούντων.

315. *Τίς μηνύει.* Πᾶς πολίτης Ἀθηναῖος, ἢ ἰσοτελής, ἐνῆλιξ, ἠδύνατο νὰ ἀσκήσῃ τὴν ποινικὴν δίκην (α). Ὁ δοῦλος καὶ ὁ ἀπελεύθερος παρίστατο διὰ τοῦ κυρίου (β), ὁ ξένος διὰ τοῦ προξένου του, ἢ διὰ τοῦ ἰδιοξένου αὐτοῦ, ὁ μέτοικος διὰ τοῦ προστάτου του, αἱ γυναῖκες καὶ οἱ ἀνήλικοι διὰ τοῦ κυρίου ἢ τοῦ ἐπιτρόπου των, καὶ τὰ σωματεῖα διὰ τῶν ἐπιμελητῶν των.

316. Παντὶ λαβεῖν δίκην ὑπὲρ τοῦ κακῶς πεπονθότος.

---

τοῦ πράγματος τοὺς μάρτυρας τὰ ψευδῆ μεμαρτυρηκότας, παρά τε τούτων δίκην λάβῃ καὶ τὸν προβαλόμενον ὑπόδικον ἔχῃ τῶν κακοτεχνιῶν (*Δημοσθ. Εὐεργ. Μνησιβ. 1, σελ. 1139*). — Κακοτεχνιῶν ὄνομα δίκης, ἣν οἱ ἑλόντες τὰς ψευδομαρτυριῶν κατὰ τοῦ παρασχομένου αὐτοὺς ἐδίδοσαν (*Πολυδεύκους*).

312. *Δημοσθ. Τιμοκρ. 212, σελ. 765.* — Ἐπερωτήσας δὲ εἰ δίκαιος αὐτοῖς καὶ καλῶς ἔχων ὁ νόμος φαίνεται, ἐπειδὴ φῆσαι τοὺς δικαστάς, εἰπεῖν ὅτι αὐτὸς ἡγεῖται ἀργύριον μὲν νόμισμ' εἶναι τῶν ἰδίων συναλλαγμάτων ἕνεκα τοῖς ἰδιώταις εὑρημένον, τοὺς δὲ νόμους ἡγοῖτο νόμισμα τῆς πόλεως εἶναι. δεῖν δὴ τοὺς δικαστὰς πολλῷ μᾶλλον, εἴ τις ὃ τῆς πόλεώς ἐστι νόμισμα, τοῦτο διαφθείρει καὶ παράσημον εἰσφέρει, μισεῖν καὶ κολάζειν, ἢ εἴ τις ἐκεῖνο ὃ τῶν ἰδιωτῶν ἐστίν. προσθεῖναι δὲ τεκμήριον τοῦ καὶ μεῖζον εἶναι τἀδίκημα τὸ τοὺς νόμους διεφθείρειν ἢ τὸ ἀργύριον, ὅτι ἀργυρίῳ μὲν πολλαὶ τῶν πόλεων καὶ φανερῶς πρὸς χαλκὸν καὶ μόλυβδον κεκραμένῳ χρώμεναι σῴζονται καὶ οὐδ' ὁτιοῦν παρὰ τοῦτο πάσχουσι, νόμοις δὲ πονηροῖς χρώμενοι καὶ διαφθείρεσθαι τοὺς ὄντας ἐῶντες οὐδένες πώποτ' ἐσώθησαν. (*Δημοσθ. Τιμοκρ. 213 - 4, σελ. 766*). Ἴδε καὶ ρωμ. δικ. *ν. 8 Π. 48. 10* καὶ *ν. 1. Κ. 9. 24.*

313. Καὶ ξυνήθη τὴν δίαιταν μεθ' ὅπλων ἐποιήσαντο, ὥσπερ οἱ βάρβαροι· ἐν τοῖς πρώτοις δὲ Ἀθηναῖοι τόν τε σίδηρον κατέθεντο (*Θουκυδ. Α'. 6*). — Ὅρα δ' ἐν τοῖς κατὰ τὸν Ἀχιλλέα, ὅτι τὰ ὅπλα ἐφόρουν οἱ παλαιοὶ καὶ ἐν ταῖς ἀγοραῖς, καὶ ὅτι οὐκ ἀγαθὸν ἦν ἐνόπλους ὄντας βουλεύεσθαι· μικροῦ γὰρ ἂν μέγα συνέβη κακόν, τοῦ Ἀχιλλέως χρησαμένου τῷ ξίφει, διὸ καὶ ἐκωλύθη παρὰ τοῖς ὕστερον ἢ ἁπλῶς ὅποι τύχῃ ὁπλοφορία διὰ τὰ ἐξ αὐτῆς κακὰ (*Εὐσταθίου εἰς Ἰλιάδα*).

314. Καὶ μὴν οἵ γε νόμοι καὶ ἀχαριστίας δικάζεσθαι διδόασι κατὰ τοὺς εὐεργέτας μὴ ἀντευποιούντων (*Λουκιανός*).

315. α) Δικάσειν γὰρ ὀμωμόκατε ὑμεῖς οὐ περὶ ὧν ἂν ὁ φεύγων ἀξιοῖ, ἀλλ' ὑπὲρ αὐτῶν ὧν ἂν ἡ δίωξις ᾖ. (*Δημοσθ. Στεφάν. Ψευδομ. 50*). — β) *Δημοσθ. Μακάρτ. σελ. 1054.*

316. Ἴδε ἀνωτέρω θέμα 16.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



317. *Ἀνίκανοι εἰς τὸ μηνύειν.* Φόνου δὲ δίκας μὴ εἶναι οὐδαμοῦ κατὰ τῶν τοὺς φεύγοντας ἐνδεικνυόντων, ἐάν τις κατίῃ ὅποι μὴ ἔξεστιν (α). Ἀνίκανοι ἐπίσης εἶναι, οἱ ἀσκήσαντες φάσιν κατά τινος καὶ παραιτηθέντες αὐτῆς ἢ ἀπολέσαντες ταύτην (β), οἱ ἡταιρηκότες (γ).

318. *Οὐδεὶς ἀνήκουστος.* Τοῦ τε κατηγόρου καὶ τοῦ ἀπολογουμένου ἀμφοῖν ἀκροᾶσθαι.

319. *Ποινικὰ δικαστήρια.* Ὁ Ἄρειος Πάγος, δικάζων τὸν ἐκ προμελέτης φόνον καὶ τραῦμα, πυρκαϊᾶς καὶ φαρμακείας (α), οἱ Ἐφέται (β), οἵτινες ἐδίκαζον εἴτε εἰς τὸ ἐν Παλλαδίῳ δικαστήριον τὰ ἀκούσια ἀδικήματα (γ) εἴτε εἰς τὸ ἐν Δελφινίῳ, τοὺς ἐκ δεδικαιολογημένης αἰτίας φόνους (δ), εἴτε εἰς τὸ ἐν Πρυτανείῳ τὰ ἄψυχα ὄργανα φόνου (ε), εἴτε εἰς τὸ ἐν Φρεαττοῖ, τοὺς διαπράξαντας ἀκούσιον φόνον, ἀλλὰ βραδύτερον ἐνεργήσαντας ἑκούσιον τοιοῦτον (στ), εἴτε εἰς τὸ τῆς Ἡλιαίας (ζ).

---

317. α) Δὲν ἐγκαλεῖται ὁ φονεύς, εἰσερχόμενος εἰς μέρος ἀπηγορευμένον. — β) Ἴδε ἀνωτέρω θέμα 216. — γ) Μήτε λέγειν μήτε γράφειν ἐξεῖναι τοῖς ἡταιρηκόσι (*Δημοσθ. Ἀνδροτ. 30 σελ. 602*). — Ἴδε καὶ ἀνωτέρω θέμα 260.

318. Ἴδε κατωτέρω θέμα 329.

319. α) Δικάζειν δὲ τὴν βουλὴν τὴν ἐν Ἀρείῳ πάγῳ φόνου καὶ τραύματος ἐκ προνοίας καὶ πυρκαϊᾶς καὶ φαρμάκων, ἐάν τις ἀποκτείνῃ δούς (*Δημοσθ. Ἀριστοκρ. 22, σελ. 627*). Οἱ Ἀρεοπαγῖται ἐν νυκτὶ καὶ σκότει δικάζουσιν, ὡς μὴ ἐς τοὺς λέγοντας, ἀλλ' εἰς τὰ λεγόμενα ἀποβλέποιεν (*Λουκιαν. Ἑρμότιμ.*). — β) Δοκοῦσι δ' ὀνομάσθαι, ὅτι πρότερον τοῦ βασιλέως τοὺς ἐπ' ἀκουσίῳ φόνῳ κρινομένους ἐξετάζοντος ὁ Δράκων τοῖς ἐφέταις παρέδωκε τὴν κρίσιν, ἐφέσιμον ἀπὸ τοῦ βασιλέως πεποιηκώς (*Πολυδ. Η. 125*). Ἦσαν οὗτοι 51, ἀριστίνδην αἱρεθέντες, ὑπὲρ τὰ 50 ἔτη γεγονότες, καὶ ἄριστα βεβιωκέναι ὑπόληψιν ἔχοντες (*Σουΐδας*, ἴδε ἀνωτέρω θέμα 270, *Δημοσθ. Μακάρτ. 57 σελ. 1069, κ.λπ.*). — γ) Ἐν ᾧ δικάζουσιν ἀκουσίου φόνου καὶ βουλεύσεως (ἤτοι προτροπῆς) (*Ἁρποκρατ. λ. ἐπὶ Παλλαδίῳ*), τὸν βουλεύσαντα ἐν τῷ αὐτῷ ἐνέχεσθαι καὶ τὸν τῇ χειρὶ ἐργασάμενον (*Ἀνδοκίδ. Μυστηρ. 94, Ἀντιφῶντ. Τετραλ. Γ' β.*). Τὸν ἁλόντα ἐπ' ἀκουσίῳ φόνῳ ἔν τισιν εἰρημένοις χρόνοις ἀπελθεῖν τακτὴν ὁδὸν καὶ φεύγειν, ἕως ἂν αἰδέσηταί τινα τῶν ἐν γένει τοῦ πεπονθότος (*Δημοσθ. Ἀριστοκρ. 72, σελ. 643*), ἤτοι, πρὸς θρησκευτικὸν ἱλασμὸν (*Ὁμήρου Ἰλ. Ψ. 85*), ἤτοι ἐπεβάλλετο εἰς τὸν ἀκούσιον φονέα ὑπερορία, μέχρις οὗ λάβῃ χώραν αἴδεσις (ἴδε ἀνωτέρω θέμα 269 καὶ 270), ἡ ὑπερορία αὕτη πιθανῶς ἦτο ἐνιαυσία (*Πλάτων. Νόμοι 865, Ε, καὶ 866 Γ, καὶ 869 Ε, Ἀντιφῶντ. Τετραλ. Β 10*). Δήμευσις δὲν ἐπεβάλλετο εἰς τὸν ἀκούσιον φονέα (*Δημοσθ. Ἀριστοκρ. 38, 39*). — δ) Εἴτε λόγῳ ἀμύνης (ἴδε ἀνωτέρω θέμα 262, *Ἀντιφῶντ. Τετραλ. Γ. 2, Πολυδ. Η. 119, Πανσαν. Α. 28*), εἴτε λόγῳ μοιχείας (ἴδε ἀνωτέρω θέμα 266), εἴτε λόγῳ κλοπῆς καὶ λωποδυσίας (*Δημοσθ. Τιμοκράτ. 204, σελ. 763*, ἴδε καὶ θέμα 278), εἴτε ἐπὶ ἐνεργείας καταλύσεως τοῦ δήμου (ἴδε ἀνωτέρω θέμα 243, *Ἀνδοκιδ. Μυστηρ. 95*), εἴτε λόγῳ φόνου ἐπ' αὐτοφώρῳ (ἐντὸς τόπου, ἐξ οὗ εἴργετο), διότι ἄλλως ἐτιμωρεῖτο ὡς φονεὺς (ἴδε θέμα 258), ὡς ἐπίσης ἐτιμωρεῖτο ὡς φονεὺς ὁ μὴ δυνάμενος ν' ἀποδείξῃ τὴν νομιμότητα τῆς ἐνεργείας του, *ἐὰν μὴ ἀποδεικνύῃ ἀληθῆ* (*Λυσίου - Θεο-*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

320. *Ἄσκησις τῆς δικαιοσύνης.* Ἐν ἀρχῇ κύριοί τε ἦσαν οἱ ἐννέα Ἄρχοντες, ὥστε τὰς δίκας αὐτοτελεῖς ποιεῖσθαι. Ὕστερον δὲ Σόλωνος αὐτοῖς νομοθετήσαντος, οὐδὲν ἕτερον αὐτοῖς ἐτελεῖτο, ἢ μόνον ἀνακρίνειν τοὺς ἀντιδίκους.

321. *Ἔνδικα μέσα.* Τοιαῦτα ἦσαν, ἡ δοκιμασία (α), ἡ εὐθύνη (β), ἡ προβολὴ (γ),

---

*μνήστ. Β΄ ΙΙ, Ἐρατοσθ. 99*).— ε) Ἐὰν λίθος ἢ ξύλον ἢ σίδηρος ἤ τι τοιοῦτον ἐμπεσὸν πατάξῃ, καὶ *τὸν μὲν βαλόντα ἀγνοῇ τις*, αὐτὸ δ᾽ εἰδῇ καὶ ἔχῃ τὸ τὸν φόνον εἰργασμένον, τούτοις ἐνταῦθα λαγχάνεται (*Δημοσθ. Ἀριστοκρ. 76, σελ. 645*), *Πολυδεύκ. Η. 120*, *Αἰσχίν. Κτησιφ. 233*). — στ) Ἐάν τις ἐπ᾽ ἀκουσίῳ φόνῳ πεφευγώς, μήπω τῶν ἐκβαλόντων αὐτὸν ἠδεσμένων, αἰτίαν ἔχῃ ἑτέρου φόνου ἑκουσίου (*Δημοσθ. Ἀριστοκρ. 77 σελ. 645*). Οὗτοι, μήτ᾽ ἀποβάθραν, μήτ᾽ ἄγκυραν εἰς τὴν γῆν βαλλόμενον (*Πολυδ. Η. 120*). — ζ) Τὰ δικαστήρια ταῦτα κατηργήθηκαν ἐπὶ τῆς τυραννίας τῶν Τριάκοντα, ἐπὶ δὲ Εὐκλείδου, ὡρίσθη ὅτι ἐκ τῶν δικαστηρίων τούτων διετηρήθησαν τὸ ἐν Παλλαδίῳ καὶ τὸ ἐν Δελφινίῳ, εἰς τὰ ὁποῖα ἐδίκαζον οἱ Ἡλιασταὶ (ἴδε ἐν τοσούτῳ *Δημοσθ. κατ᾽ Ἀριστοκρ. 38 σελ. 632*).

320. *Σουΐδα, λέξ. Ἄρχων.*

321. α) *Δοκιμασία.* Αὕτη τοῖς ἄρχουσιν ἐπηγγέλλετο, καὶ τοῖς κληρωτοῖς καὶ τοῖς αἱρετοῖς εἴτ᾽ ἐπιτήδειοί εἰσιν ἄρχειν εἴτε καὶ μή, καὶ τοῖς δημαγωγοῖς, εἰ ἑταιρηκότες εἶεν ἢ τὰ πατρῷα κατεδηδοκότες ἢ τοὺς γονέας κεκακωκότες ἢ ἄλλως κακῶς βεβιωκότες· ἀτίμους γὰρ αὐτοὺς ἐχρῆν εἶναι καὶ μὴ λέγειν. (*Πολυδ. Η. 44, Δεινάρχ. Ἀριστογείτ. Δ΄ κ.λπ.*). Εἰς δοκιμασίαν ὑπεβάλλοντο καὶ οἱ Ἐννέα Ἄρχοντες ὑπὸ τῆς Βουλῆς. — β) *Εὐθύνη ἢ εὔθυνα.* Αὕτη κατὰ τῶν ἀρξάντων ἢ πρεσβευσάντων ἦν μὲν περὶ χρημάτων πρὸς τοὺς εὐθύνους καὶ λογιστὰς (οἱ δ᾽ ἦσαν δέκα), ἦν δὲ περὶ ἀδικημάτων πρὸς τοὺς δικαστάς, ἡ δ᾽ εὔθυνα χρόνον εἶχεν ὡρισμένον, μεθ᾽ ὃν οὐκέτ᾽ ἐξῆν ἐγκαλεῖν. (*Πολυδ. Η. 45, Αἰσχίν. Κτησιφ. 17, κ.λπ.*). Ἐὰν ὁ ὑπεύθυνος δὲν ἔδιδε λόγον ἐντὸς 30 ἡμερῶν, κατεδιώκετο διὰ τῆς γραφῆς ἀλογίου (*Πολυδ. Η. 54*), ἡ περιουσία του ἦτο ὑπεύθυνος εἰς τὴν πόλιν, δὲν ἠδύνατο νὰ ἐξέλθῃ τῆς Ἀττικῆς, δὲν ἠδύνατο καθ᾽ οἱονδήποτε τρόπον ν᾽ ἀπαλλοτριώσῃ τὴν περιουσίαν του, καὶ ἐστερεῖτο τῶν τιμῶν ἢ ἀμοιβῶν τῆς πόλεως (*Δημοσθ. Μειδίου 87, σελ. 542, κ.λ.π.*).— γ) *Προβολή.* Αὕτη ἦν κλῆσις εἰς δίκην κατὰ τῶν κακόνως πρὸς τὸν δῆμον διακειμένων (*Πολυδ. Η. 46*). — Ἠσκεῖτο ἐπὶ παραπόνων κατὰ καταχρήσεως τῶν Ἀρχόντων, κατὰ τῶν συκοφαντῶν (*Ξενοφ. Ἑλληνικ. Α. 35, Λυσίου — Ἀγοράτ. 47*), κατὰ τῶν περὶ τὰ ἱερὰ ἀσεβούντων (*Δημοσθ. Μειδίου 9 σελ. 517 ἐπ. 175 σελ. 571*), κατὰ τῶν νοσφιστῶν δημοσίας περιουσίας (*Δημοσθ. Μειδ. 173, σελ. 570*). Ἡ προβολὴ ὑπεβάλλετο εἰς τὴν ἐκκλησίαν τοῦ λαοῦ, ἥτις εἰσῆγε τὴν ἐκδίκασιν αὐτῆς εἰς τὰ δικαστήρια. — δ) *Φάσις.* Φάσεις ἐκαλοῦντο πᾶσαι αἱ μηνύσεις τῶν λανθανόντων ἀδικημάτων, ἐν αἷς τῶν περὶ τὰ μέταλλα ἀδικούντων, τῶν περὶ τὸ ἐμπόριον κακουργούντων ἢ περὶ τὰ τέλη, ἢ τῶν δημοσίων τι νενοσφισμένων, ἢ τῶν συκοφαντούντων, ἢ περὶ τοὺς ὀρφανοὺς ἐξαμαρτανόντων. Ἐφαίνετο δὲ πρὸς τὸν Ἄρχοντα, ἐδίδοσαν δ᾽ ἐν γραμματείῳ γράψαντες τὴν φάσιν, τά θ᾽ ἑαυτῶν καὶ τοῦ κρινομένου ὄνομα προσγράψαντες καὶ τίμημα ἐπιγραψάμενοι. Ἐὰν ἀφεώρα εἰς τὴν εἰσαγωγὴν ἢ ἐξαγωγὴν ἐμπορίου ἐπεδίδετο εἰς τοὺς ἐπιμελητὰς (*Δημοσθ. Θεοκρίν. 5, σελ. 1323*), ἐὰν ἀφεώρα εἰς κατάχρησιν δημοσίων χρημάτων εἰς τοὺς συνδίκους (*Λυσίου - Ἀριστ. χρημ. 32, Μαντιθ. 7, κ.λπ.*), ἐὰν μέταλλα εἰς τοὺς θεσμοθέτας, ἐὰν ὀρφανοὺς εἰς τὸν Ἄρχοντα (*Δημοσθ. - Λάκριτ. 48, σελ. 940*

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



(γ), ἡ φάσις (δ), ἡ ἔνδειξις (ε), ἡ ἐπαγωγὴ (στ). ἡ ἐφήγησις (ζ), τὸ ἀνδρολήψιον (η), ἡ εἰσαγγελία (θ), ἡ ἀγραφίου (ι), ἡ ἀλογίου (ια), καὶ διάφοροι γραφαί (ιβ).

---

κλπ.). — Αἱ φάσεις ἦσαν τιμηταὶ (*Πολυδ. Η. 48*), τὸ δὲ τίμημα περιήρχετο εἰς τὸ δημόσιον, ἐὰν ἡ βλάβη ἐγένετο εἰς αὐτό, ἐὰν ἡ βλάβη ἐγένετο εἴς τε τὸ δημόσιον καὶ εἰς ἰδιώτας, περιήρχετο ἐξ ἡμισείας εἰς ἑκάτερον (*Δημοσθ. Θεοκρίνου 13, σελ. 1325*), ἀλλ' ἐν τοιαύτῃ περιπτώσει ὁ ἰδιώτης ἐζημιοῦτο τὸν ἐπωβελίαν καὶ τὰ πρυτανεῖα, ἐὰν δὲ ἡ φάσις ἀφεώρα δημοσίαν ὑπόθεσιν, ὑπεχρεοῦτο οὗτος, ἐὰν δὲν ἐλάμβανε τὸ πέμπτον τῶν ψήφων, εἰς τὴν καταβολὴν τῆς παραστάσεως καὶ χιλίων δραχμῶν (δ).—*Ἔνδειξις.* Αὕτη ἢ πρὸς τὸν ἄρχοντα ὁμολογουμένου ἀδικήματος μήνυσις, οὐ κρίσεως ἀλλὰ τιμωρίας δεομένου. ὁ δ' ἐνδεικνύμενος ἐν γραμματείῳ πρὸς τὸν ἄρχοντα τὴν ἔνδειξιν ἀποφέρει, ἵν' ὑπεύθυνος ᾖ τῆς ψευδοῦς ἐνδείξεως. καὶ αὕτη μὲν γίνεται περὶ τῶν οὐ παρόντων (*Πολυδ. Η. 49*). — Ἤτοι εἶναι μήνυσις κατὰ τῶν ἀσκούντων καθήκοντα, ἢ κατεχόντων ἀρχάς, παρὰ τὸν νόμον, τοιοῦτοι δὲ ἦσαν, οἱ ὀφειλέται πρὸς τὸ δημόσιον, οἱ λάθρα ἐπιστρέφοντες ἐξόριστοι, καὶ ἰδίᾳ οἱ ἐπὶ ἀσεβείᾳ καταδικασθέντες καὶ ἐπισκεπτόμενοι ἱεροὺς τόπους, οἱ ἐπὶ παραπρεσβείᾳ κατηγορούμενοι (*Ἰσοκράτ. Καλλιμ. 11*), οἱ χορηγοῦντες ἐφόδια τοῖς πολεμίοις (*Ἀριστοφ. Ἱππ. 278, Ἀνδοκίδ. Περὶ τῆς ἑαυτοῦ καθόδου 14*), ὁ Ἐπιστάτης, ὅστις ἠρνεῖτο νὰ ὑποβάλῃ εἰς τὴν Βουλὴν ζήτημά τι πρὸς ἐπιψήφισιν. Ἡ ἔνδειξις κατετίθετο εἰς τὸν ἁρμόδιον Ἄρχοντα, ἢ εἰς τοὺς Ἕνδεκα, ἵνα εἰσαγάγουν τὴν δίκην νομίμως. — *Ἴδε Λυσίου — Ἀγοράτου ἐνδείξεως* (ε). — *Ἀπαγωγή.* Ὅταν τις ὃν ἔστιν ἐνδειχθῆναι μὴ παρόντα, τοῦτον παρόντα ἐπ' αὐτοφώρῳ λαβὼν ἀπαγάγῃ (*Πολυδ. Η. 49*). Αὕτη εἰσήγετο εἰς τινα τῶν Ἀρχόντων ἢ τῶν Ἕνδεκα (*Δημοσθ. Ἀνδροτ. 25, σελ. 601*) καὶ ἐὰν μὲν τὸ ἀδίκημα ἦτο αὐτόφωρον ἢ ὡμολογημένον, ἐδικάζετο ὁ μηνυόμενος παρευθύς, ἐν ἐναντίᾳ δὲ περιπτώσει παρεπέμπετο ἡ ἐκδίκασις εἰς τὸ ἁρμόδιον δικαστήριον (*Δημοσθ. Τιμοκρ. 113, σελ. 735, Ἀριστοκρ. 32, σελ. 630*). Ἐὰν ἡ μήνυσις ἀπεδεικνύετο ψευδής, ὁ μηνυτὴς ὑπεβάλλετο εἰς ζημίαν χιλίων δραχμῶν (στ).— *Ἐφήγησις.* Ἐφηγεῖσθαι δὲ ἐστιν, ὅταν τις δι' ἀσθένειαν ἀπαγαγεῖν οὐ θαρρῶν ἐπάγῃ τὸν ἄρχοντα ἐπ' οἰκίαν οὗ τις τούτων ἀποκρύπτεται (*Πολυδ. Η. 50*). — Ἐν τῇ περιπτώσει ταύτῃ ὁ μηνυτής, καὶ ἐὰν δὲν ἀπεδεικνύετο βάσιμος ἡ μήνυσις, δὲν ὑπεβάλλετο εἰς χρηματικὴν ζημίαν. Ἡ ἀπαγωγὴ καὶ ἡ ἐφήγησις ἠσκοῦντο ἐπὶ κλοπῆς, φόνου, κακώσεως γονέων καὶ ἄλλων, ὧν ἡ ποινὴ ἦτο προσδιωρισμένη (ζ). — *Ἀνδροληψία.* Ἴδε θέμα 261. Οἱ τριήραρχοι καὶ οἱ διοικηταὶ πλοίων διωρίζοντο ἵνα συλλαμβάνωσι τοὺς ὁμήρους, καὶ νὰ κρατῶσι τούτους ἐν τῇ φυλακῇ μέχρις ὅτου δοθῇ ἱκανοποίησις εἰς τοὺς συγγενεῖς. Ἡ περιουσία τῶν συλλαμβανομένων ἐδημεύετο. — Ὁ δὲ ἀδίκως ἀνδροληψίᾳ κεχρημένος οὐκ ἀνεύθυνος ἦν (*Πολυδ. ἀνωτέρω*) (η). — *Εἰσαγγελία.* Τέτακται ἐπὶ τῶν ἀγράφων δημοσίων ἀδικημάτων. κατὰ τὸν νόμον τὸν εἰσαγγελτικόν, ὃς κεῖται, περὶ ὧν οὐκ εἰσὶ νόμοι, ἀδικῶν δέ τις ἁλίσκεται ἢ ἄρχων ἢ ῥήτωρ, εἰς τὴν βουλὴν εἰσαγγελία δίδοται κατ' αὐτοῦ, κἂν μὲν μέτρια ἀδικεῖν δοκῇ, ἡ βουλὴ ποιεῖται ζημίας ἐπιβολήν, ἂν δὲ μείζω παραδίδωσι δικαστηρίῳ· τὸ δὲ τίμημα, ὅ τι χρὴ παθεῖν ἢ ἀποτῖσαι. ἐγίνοντο δὲ εἰσαγγελίαι καὶ κατὰ τῶν καταλυόντων τὸν δῆμον ῥητόρων, ἢ μὴ τὰ ἄριστα τῷ δήμῳ λεγόντων, ἢ πρὸς τοὺς πολεμίους ἄνευ τοῦ πεμφθῆναι ἀπελθόντων, ἢ προδόντων φρούριον ἢ στρατιὰν ἢ ναῦς (*Πολυδ. Η. 51 ἐπ.*). Ἡ εἰσαγγελία εἰσήγετο εἰς τὴν βουλήν, δυναμένην ν' ἀπορρίψῃ αὐτὴν (*Λυσίου — Νικομ. 5*), ἢ νὰ δικάσῃ αὐτήν, ἐὰν τὸ ἀδίκημα ἐτιμωρεῖτο διὰ ζημίας μέχρι πεντακοσίων δραχμῶν, ἢ διὰ τῶν ἀρχόντων νὰ εἰσαγάγῃ αὐτὴν εἰς τὴν Ἡλιαίαν, ἐὰν τὸ ἀδίκημα ἦτο σπουδαῖον (*Δημοσθ. Τιμοκρ. 61, σελ. 720*). — Τοὺς μὲν ἄλλας γραφὰς γραψαμένους χιλίας δραχμὰς ὀφλισκάνειν, εἰ τοῦ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



πέμπτου τῶν ψήφων μὴ μεταλάβοιεν, καὶ προσατιμοῦσθαι, τοὺς δὲ εἰσαγγέλλοντας μὴ ἀτιμοῦσθαι μέν, ὀφλεῖν δὲ τὰς χιλίας· ἔοικε δὲ τοῦτο διὰ τοὺς ραδίως εἰσαγγέλλοντας ὕστερον προσγεγράφθαι (*Θεοφράστου, ἴδε ἐντοσούτῳ Ὑπερείδ. Λυκόφρ. VII καὶ IX*). — Τιμοκράτης εἶπεν, ὁπόσοι Ἀθηναίων κατ' εἰσαγγελίαν ἐκ τῆς βουλῆς ἢ νῦν εἰσιν ἐν τῷ δεσμωτηρίῳ ἢ τὸ λοιπὸν κατατεθῶσι, καὶ μὴ παραδοθῇ ἡ κατάγνωσις αὐτῶν τοῖς θεσμοθέταις ὑπὸ τοῦ γραμματέως τοῦ κατὰ πρυτανείαν κατὰ τὸν εἰσαγγελτικὸν νόμον, δεδόχθαι εἰσάγειν τοὺς ἕνδεκα εἰς τὸ δικαστήριον τριάκονθ' ἡμερῶν ἀφ' ἧς ἂν παραλάβωσιν, ἐὰν μή τι δημοσίᾳ κωλύσῃ, ἐὰν δὲ μή, ὅταν πρῶτον οἷόν τ' ᾖ. κατηγορεῖν δ' Ἀθηναίων τὸν βουλόμενον οἷς ἔξεστιν. ἐὰν δ' ἁλῷ, τιμάτω ἡ ἡλιαία περὶ αὐτοῦ, ὅ τι ἂν δοκῇ ἄξιος εἶναι παθεῖν ἢ ἀποτῖσαι. ἐὰν δ' ἀργυρίου τιμηθῇ, δεδέσθω ἕως ἂν ἐκτίσῃ ὅ τι ἂν αὐτοῦ καταγνωσθῇ ***(Δημοσθ. Τιμοκρ. 63, σελ. 720)*** (θ).—*Ἀγραφίου*. Κατηγοροῦνται οἵτινες ἂν ἑαυτοὺς ἐκ τῶν ἐγγεγραμμένων ἐξαλείφωσιν (*Πολυδ. Η. 54*), ἤτοι, οἱ ἐξαλείφοντες ἐκ τῶν σανίδων τὸ ὄνομα αὐτῶν, ὡς δημοσίων ὀφειλετῶν, πρὶν πληρώσωσι. Αὕτη ὑπήγετο εἰς τὴν ἁρμοδιότητα τῶν θεσμοθετῶν (ι). —*Ἀλογίου*. Δίκη ἦν κατὰ τῶν οὐκ ἀποδιδόντων λογισμοὺς ὧν ἂν διαχειρίσωσιν (*Πολυδ. Η. 54*) εἰσήγετο αὕτη εἰς τοὺς Λογιστὰς (ια). — *Γραφαί*. Τούτων αἱ σπουδαιότεραι ἦσαν, αἱ φόνου καὶ τραύματος ἐκ προνοίας, καὶ πυρκαϊᾶς, φαρμάκων, μοιχείας, ὕβρεως, ἱεροσυλίας, ἀσεβείας, προδοσίας, δώρων, δεκασμοῦ (δώρων κατὰ τοῦ διδόντος καὶ δεκασμοῦ κατὰ τοῦ λαμβάνοντος) (*Αἰσχίν. Τιμαρχ. 12*), λιποστρατίου, λιποταξίου, ἀστρατείας (*Λυσίου — Ἀλκιβ. 521, 571*), λιποναυτίου, ἀναυμαχίου (*Ἀνδοκίδ. Μυστηρ. 10, 22*), τοῦ ῥῖψαι τὴν ἀσπίδα (*Λυσίου — Θεομν. 1 ἐπ.*), ἀγαμίου (καὶ παρὰ Λακεδαιμονίοις ὀψιγαμίου, κακογαμίου), ἀργίας (*Δημοσθ. Εὐβουλ. 1308, Ἰσοκρ. Ἀρεοπ. 17*), ἑταιρήσεως, ψευδεγγραφῆς, ψευδοκλητείας (*Δημοσθ. Νικοστρ. 1252*), ξενίας, δωροξενίας, παρανόμων (*Δημοσθ. Τιμ. 710*), παραπρεσβείας (*Αἰσχίν. Παραπρ. 28, 52*), καὶ ἄλλαι, ἃς ἴδε εἰς *Τζιβανοπούλου Λεξικὸν σελ. 1041*. — *Ἐνέργεια τούτων*. Ταύτας τὰς δίκας ἢ ὅσαι τοιαῦται —ἐκαλοῦντο γὰρ αἱ γραφαὶ καὶ δίκαι, οὐ μέντοι καὶ αἱ δίκαι γραφαί— ἐξῆν τῷ βουλομένῳ γράφεσθαι, καὶ ἐπὶ μὲν πασῶν τούτων ὁ μὴ μεταλαβὼν τὸ πέμπτον μέρος τῶν ψήφων προσωφλίσκανε χιλίας· ὁ δὲ τῆς ἀσεβείας γραψάμενος καὶ οὐχ ἑλὼν ἐθανατοῦτο. καὶ τῆς μὲν ὕβρεως τὸ τίμημα οὐκ ἦν τοῦ παθόντος ἀλλὰ δημόσιον, δώρων δὲ κατὰ τοῦ ἐπὶ δώροις δικάσαντος ἦν ἡ γραφή, δεκασμοῦ δὲ κατὰ τοῦ διαφθείραντος· καὶ ὁ μὲν δεκάζεσθαι ὁ δὲ δεκάζειν ἐλέγετο. τῆς δὲ ἀργίας ἐπὶ μὲν Δράκοντος ἀτιμία ἦν τὸ τίμημα· ἐπὶ δὲ Σόλωνος, εἴ τρίς τις ἁλῴη, ἠτιμοῦτο. καὶ λιποναυτίου μὲν ἐκρίνετο ὁ τὴν ναῦν ἐκλιπών, ὥσπερ ὁ τὴν τάξιν λιποταξίου, ἀναυμαχίου δὲ ὁ τὴν ναῦν μὲν μὴ λιπών, μὴ μέντοι ναυμαχήσας. ἑταιρήσεως δ' ἦν γραφὴ καὶ δοκιμασία καὶ ἐπαγγελία (*Πολυδ. 41 ἐπ.*)· καὶ ταῦτα τῆς κατὰ τῶν ἑταιρηκότων κατηγορίας τὰ ὀνόματα. ψευδεγγραφῆς δ' ἦν δίκη κατὰ τῶν ὡς ὀφείλοντάς τινας ἐνδειξαμένων, εἰ ψευδῶς σεσυκοφαντηκότες ἁλῷεν. κατὰ δὲ τούτου ἦν καὶ ἐπιβουλεύσεως γραφή, ψευδοκλητείας δὲ κατὰ τῶν οὐ δικαίως κεκλητευκότων. δωροξενίας δέ, εἴ τις ξενίας κρινόμενος δῶρα δοὺς ἀποφύγοι. παρανόμων δέ, εἴ τις ψήφισμα γράψαι ἢ νόμον παράνομον· ὑπομοσάμενος γάρ τις τὸ γραφέν, οὗ ἡ κατηγορία ὑπωμοσία ἐκαλεῖτο, διήλεγχεν ὅτι ἔστι παράνομον ἢ ἄδικον ἢ ἀσύμφορον (*Πολυδ. Η. 40 - 44*). — *Κακώσεως*. Ἴδε ἀνωτέρω θέμα 127 καὶ 274α. Αἱ περὶ κακώσεως δίκαι ὑπήγοντο εἰς τὸν ἐπώνυμον ἄρχοντα, ἢ εἰς τὸν πολέμαρχον, ἐὰν ἐπρόκειτο περὶ ξένων ἢ μετοίκων. Πᾶς Ἀθηναῖος ἠδύνατο νὰ εἶναι κατήγορος ἐν αὐτῇ, ὁ μηνυτὴς δὲν ὑπέκειτο εἰς τοὺς περιορισμοὺς τῆς κλεψύδρας, οὔτε ὑπεβάλλετο εἰς ἀποζημιώσεις. Ὁ ἀγὼν ἦτο πάντοτε τιμητός, ἀπέκειτο δὲ εἰς τὸ δικαστήριον νὰ ὁρίσῃ τὴν ποινήν, ὁ ἄρχων ἠδύνατο νὰ εἰσαγάγῃ τὴν δίκην εἰς τὴν Ἡλιαίαν. — Οἱ ἐπὶ κακώσει γονέων δίκη ἐπήγετο ἀτιμίαν, ἀλλ' οὐχὶ καὶ δήμευσιν (*Ἀνδοκίδ. Μυστηρ. 74, Ξενοφ. Ἀπομνημον. Β'. 2, 13*) (ιβ).

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



322. *Ἀγὼν τιμητός.* Αἱ ἐν τοῖς ποινικοῖς καὶ ἐνίοτε ἐν τοῖς πολιτικοῖς δικαστηρίοις ἐκδικαζόμεναι δίκαι, διεκρίνοντο εἰς τιμητοὺς καὶ ἀτιμήτους ἀγῶνας. Καὶ ἀτίμητος μὲν ἐκαλεῖτο ἡ δίκη, ὅταν ἡ ἐπιβλητέα ποινὴ εἰς τὸν κατηγορούμενον ἦτο ὡρισμένη ὑπὸ τοῦ νόμου, ἰδίᾳ δὲ ἐπὶ τῆς *ἐνδείξεως*, ἐπὶ τῆς *ἀπαγωγῆς* καὶ τῆς *ἐφηγήσεως*, τιμητὴ δ' ἐκαλεῖτο ἡ δίκη, ὅταν ἡ ποινὴ καθωρίζετο ὑπὸ τοῦ δικαστηρίου, μετὰ τὴν περὶ ἐνοχῆς τοῦ κατηγορουμένου ἀπόφασίν του, καὶ ἐπὶ τῇ βάσει τῆς ποινῆς, ἤτοι τοῦ τιμήματος, ἣν ἐζήτει, καὶ τοῦ ἀντιτιμήματος ἢ ὑποτιμήματος, ὅπερ ἀντεπρότεινεν ὁ κατηγορούμενος. Ἐπὶ τῶν προτάσεων τούτων ἀπεφαίνετο τὸ δικαστήριον, δεχόμενον τὴν μίαν ἢ τὴν ἄλλην τῶν προτάσεων. Ἐὰν ἡ καταδίκη ἐγένετο εἰς χρήματα, ἐπὶ μὲν *δημοσίας γραφῆς*, παρείχετο εἰς τὸν κατηγορούμενον προθεσμία καταβολῆς (μέχρις ἐννάτης πρυτανείας), μεθ' ἥν, ἐδιπλασιάζετο ἡ ποινή, ἠτιμοῦτο ὁ καθυστερῶν καὶ ἐδημεύετο ἡ περιουσία αὐτοῦ, ἐπὶ δὲ *ἰδιωτικῆς γραφῆς*, παρείχετο εἰς τὸν μηνυτὴν τὸ δικαίωμα νὰ κατάσχῃ τὴν περιουσίαν τοῦ κατηγορουμένου, καὶ νὰ καταλάβῃ τὴν περιουσίαν του διὰ τῆς περὶ *ἐξούλης δίκης*. Περιπτώσεις τιμητῆς δίκης ἀναφέρονται ἐπὶ γραφῶν κακώσεων, ἀσεβείας, ἐπιτροπῆς καὶ ἐξαιρέσεως δούλου.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

### Γ'. Δικονομικά

323. *Δικασταί.* Πάντας Ἀθηναίους λαχεῖν εἰς τὰ δικαστήρια.

324. Ἐξεῖναι ἐν τῷ δικαστηρίῳ καταδέχεσθαι τοὺς ἐκφυλλοφορηθέντας.

325. *Κληροῦνται.* Τοὺς δικαστὰς ἀποκληροῦν εἰς τὸ δικάζεσθαι.

---

322. Ἐπὶ τῆς τιμητῆς δίκης, ὁ μηνυτὴς ἠδύνατο νὰ ζητήσῃ τὴν ἐπιβολὴν εἰς τὸν κατηγορούμενον τῆς ποινῆς τοῦ προστίμου, τῆς φυλακίσεως, τοῦ θανάτου διὰ κωνείου (ὡς ἐγένετο διὰ τὸν Σωκράτη), τοῦ βαράθρου, τοῦ ἀποτυμπανισμοῦ, τοῦ τροχοῦ, τῆς δημεύσεως κ.λπ. Ἴδε ἀνωτέρω θέμα 289, καὶ 285. — Τὸ τίμημα ἠδύνατο νὰ προσυμφωνηθῇ ἐν ταῖς ἰδιωτικαῖς συμβάσεσι (*Δημοσθ. Διονυσοδ. 27, 45*) *κ.λπ.* — Τὸ ποσὸν τοῦ εἰς χρήματα τιμήματος, καθώριζεν ὁ μηνυτὴς ἀπεριορίστως, ἀλλὰ τὰ δικαστήρια συνήθως ἐμετρίαζον τοῦτο, καὶ δὴ ὅταν ἐπρόκειτο περὶ ἰδιωτικῆς διαφορᾶς.

323. Ἐδίκαζον δ' οἱ ὑπὲρ τριάκοντα ἔτη ἐκ τῶν ἐπιτίμων καὶ μὴ ὀφειλόντων τῷ δημοσίῳ (*Πολυδ. Η. 122*).

324. Ἐκφυλλοφορηθέντες ἐκαλοῦντο οἱ βουλευταί, οἵτινες ἀπεβλήθησαν ἀπὸ τὴν Βουλὴν διὰ γενικῆς ἀποφάσεως αὐτῆς.

325. Οἱ μέλλοντες νὰ δικάσωσι δικασταὶ ἐξελέγοντο κλήρῳ. — Ἀλλ' ὑμεῖς αὐτοὶ πάντων ἄρτι κληρουμένων Ἀθηναίων, καὶ πάντων εὖ οἶδ' ὅτι βουλομένων εἰς τοῦτο λαχεῖν τὸ δικαστήριον, μόνοι δικάζεσθ' ἡμῖν· διὰ τί; ὅτι ἐλάχετε, εἶτ' ἀπεκληρώθητε· ταῦτα δὲ οἱ νόμοι λέγουσιν (*Δημοσθ. Ἀριστογ. Α'. 27, σελ. 778*).

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

326. *Ἅπαξ τῆς ἡμέρας*. Τοὺς δικαστὰς μὴ δικάζειν δὶς ἐν τῇ αὐτῇ ἡμέρᾳ.

327. *Ὅρκος δικαστῶν*. Δικάσω περὶ ὧν ἂν ἡ δίωξις ᾖ, καὶ περὶ ὧν μὲν νόμοι εἰσὶ κατὰ τοὺς νόμους ψηφιοῦμαι, περὶ δὲ ὧν μὴ εἰσί, γνώμῃ τῇ δικαιοτάτῃ.

328. *Ὅρκος Ἡλιαστῶν*. Ψηφιοῦμαι κατὰ τοὺς νόμους καὶ τὰ ψηφίσματα τοῦ δήμου τοῦ Ἀθηναίων καὶ τῆς βουλῆς τῶν πεντακοσίων, καὶ τύραννον οὐ ψηφιοῦμαι εἶναι οὐδ' ὀλιγαρχίαν· οὐδ' ἐάν τις καταλύῃ τὸν δῆμον τὸν Ἀθηναίων, ἢ λέγῃ ἢ ἐπιψηφίζῃ παρὰ ταῦτα, οὐ πείσομαι· οὐδὲ τῶν χρεῶν τῶν ἰδίων ἀποκοπὰς οὐδὲ γῆς ἀναδασμὸν τῶν Ἀθηναίων οὐδὲ οἰκιῶν· οὐδὲ τοὺς φεύγοντας κατάξω, οὐδ' ὧν θάνατος κατέγνωσται, οὐδὲ τοὺς μένοντας ἐξελῶ παρὰ τοὺς νόμους τοὺς κειμένους καὶ τὰ ψηφίσματα τοῦ δήμου τοῦ Ἀθηναίων καὶ τῆς βουλῆς οὔτ' αὐτὸς ἐγὼ οὔτ' ἄλλον οὐδένα ἐάσω· οὐδ' ἀρχὴν καταστήσω, ὥστ' ἄρχειν ὑπεύθυνον ὄντα ἑτέρας ἀρχῆς, καὶ τῶν ἐννέα ἀρχόντων καὶ τοῦ ἱερομνήμονος καὶ ὅσαι μετὰ τῶν ἐννέα ἀρχόντων κυαμεύονται ταύτῃ τῇ ἡμέρᾳ, καὶ κήρυκος καὶ πρεσβείας καὶ συνέδρων· οὐδὲ δὶς τὴν αὐτὴν ἀρχὴν τὸν αὐτὸν ἄνδρα, οὐδὲ δύο ἀρχὰς ἄρξαι τὸν αὐτὸν ἐν τῷ αὐτῷ ἐνιαυτῷ· οὐδὲ δῶρα δέξομαι τῆς ἡλιάσεως ἕνεκα οὔτ' αὐτὸς ἐγὼ οὔτ' ἄλλος ἐμοὶ οὔτ' ἄλλη εἰδότος ἐμοῦ, οὔτε τέχνῃ, οὔτε μηχανῇ οὐδεμιᾷ. καὶ γέγονα οὐκ ἔλαττον ἢ τριάκοντ' ἔτη. καὶ ἀκροάσομαι τοῦ τε κατηγόρου καὶ τοῦ ἀπολογουμένου ὁμοίως ἀμφοῖν, καὶ διαψηφιοῦμαι περὶ αὐτοῦ οὗ ἂν ἡ δίωξις ᾖ. ἐπομνύωαι Δία, Ποσειδῶ, Δήμητρα, καὶ ἐπαρᾶσθαι ἐξώλειαν ἑαυτῷ καὶ οἰκίᾳ τῇ ἑαυτοῦ, εἴ τι τούτων παραβαίνοι, εὐορκοῦντι δὲ πολλὰ κἀγαθὰ εἶναι. Καὶ οὐ μνησικακήσω, οὐδ' ἄλλῳ πείσομαι, ψηφιοῦμαι δὲ κατὰ τοὺς κειμένους νόμους.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

329. Ἀμφοῖν ἀκροᾶσθαι.

---

326. Ὑμεῖς μέν γε τὰ ἐπὶ τῷ πλήθει νενομοθετημένα δεινά, ἐάν τις ἢ διχόθεν μισθοφορῇ ἢ ὀφείλων τῷ δημοσίῳ ἐκκλησιάζῃ ἢ δικάζῃ ἢ ἄλλο τι ποιῇ ὧν οἱ νόμοι ἀπαγορεύουσιν (*Δημοσθ. Τιμοκρ. 123, σελ. 739*). — Οἱ δικασταὶ ἐλάμβανον τρεῖς ὀβολοὺς δι' ἑκάστην ὑπόθεσιν. — *Ἀριθμὸς δικαστῶν*. Ἐν τοῖς δικαστηρίοις ὑπῆρχον ἐν ὅλῳ 6.000 δικασταί, οἵτινες ἐπειδὴ ὠμνύοντο ἐκαλοῦντο ὀμωμοκότες, ἐκ τούτων ἐκληροῦντο δι' ἕκαστον δικαστήριον 500, ἐνίοτε δὲ 1.000 ἢ 400 ἢ 200, οἷς προσθετέον καὶ τὴν τοῦ εἰσαγωγέως ἄρχοντος.

327. Διατὶ αὐτοὺς καλεῖ ἀνωμότους; καθὸ εἰσίοντες οἱ δικασταὶ περὶ ἐκείνου ὤμνυσαν, περὶ οὗ ἡ κρίσις ἦν, οὐ μέντοι περὶ τῶν ἤδη κριθέντων (*Δημοσθ. Τιμοκρ.*).

328. *Δημοσθ. Τιμοκρ. 149, Αἰσχίν. Κτησιφ. 233.*

329. Ἴδε ἀνωτέρω θέμα 318. — Ἀλλὰ τοὺς νόμους καὶ τὸν ὅρκον, ἐν ᾧ πρὸς ἅπασι τοῖς ἄλλοις δικαίοις καὶ τοῦτο γέγραπται, τὸ ὁμοίως ἀμφοῖν ἀκροᾶσθαι. τοῦτο δ' ἐστίν, οὐ μόνον τὸ μὴ προκατεγνωκέναι μηδέν, οὐδὲ τὸ τὴν εὔνοιαν ἴσην ἀμφοτέροις ἀποδοῦναι, ἀλλὰ καὶ τὸ τῇ τάξει, καὶ τῇ ἀπολογίᾳ, ὡς βεβούληται καὶ προήρηται τῶν ἀγωνιζομένων ἕκαστος, οὕτως ἐᾶσαι χρήσασθαι (*Δημοσθ. Στεφάν, Α, 1*).

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

330. *Διαδικασία. Κλῆσις.* Τὸν τῆς προσκλήσεως κλητῆρα ἐπιγράψασθαι.

331. *Προανάκρισις.* Τοὺς Ἄρχοντας ἀνακρίνειν τοῖς συντείνουσιν εἰς τὸν ἀγῶνα, καὶ τοὺς συντείνοντας εἰς τὸν ἀγῶνα ἀποκρίνειν.

332. *Ὅρκος - πρόδικος.* Τὸν μέλλοντα κατηγορεῖν, ὄμνυσθαι ὑπὲρ τοῦ ἐπελθεῖν, εἰ πάντα ἕτοιμα ἔχει τὰ πρὸς τὸν ἀγῶνα ἢ ἀπόμνυσθαι.

333. *Εἰσαγωγὴ δίκης.* Τοὺς Ἄρχοντας καλεῖν εἰς τὸ δικαστήριον τοὺς συντείνοντας εἰς τὸν ἀγῶνα καὶ εἰσάγειν εἰς τὸ δικαστήριον.

334. *Μὴ ἐμφάνισις.* Διαγράφειν τὸν Ἄρχοντα τὴν τοῦ ἀμφισβητοῦντος, καὶ τῆς δίκης ἕνεκα ἀπόντων, ἀμφισβήτησιν.

---

330. Κλητὴρ λέγεται ὁ καλῶν εἰς τὸ δικαστήριον πάντας. σημαίνει δὲ ἡ λέξις καὶ τὸν μάρτυρα (*Σουΐδας, Ἁρποκρατ.*). Ἡ κλῆσις ἐγένετο ἢ διὰ τακτικῶν κλητήρων τοῦ δικαστηρίου, ὧν τὸ ὄνομα ἐτίθετο εἰς τὸ ἔγγραφον τῆς κλήσεως, ἢ διὰ τοῦ ἐνάγοντος, ἐνώπιον δύο μαρτύρων, οἵτινες ἐκαλοῦντο μάρτυρες. Ἐὰν ἡ δίκη ἐστρέφετο κατὰ γυναικός, τὸ ἔγγραφον ἀπηυθύνετο κατὰ τοῦ κυρίου αὐτῆς. Τῆς οἰκίας παντὸς θεωρουμένης ὡς ἀσύλου, ἡ ἐπίδοσις τοῦ δικογράφου ἐγένετο ἐκτὸς αὐτῆς, καλουμένου πρὸς τοῦτο τοῦ ἀντιδίκου. Ἐὰν ἐπεγράφοντο ψευδεῖς κλητῆρες, ὁ διάδικος ἢ οἱ κλητῆρες κατεδιώκοντο διὰ τῆς γραφῆς ψευδοκλητείας (*Δημοσθ. Νικοστρ. 15, σελ. 1251*), ἥτις ἐνίοτε ἐπέσυρε θανατικὴν ποινήν, ἐν τιμητῷ ἀγῶνι (*Δημοσθ. Νικοστρ. 17*), ἢ τὴν ποινὴν τῆς ἀτιμίας (*Ἀνδοκίδ. 33*) ἢ καὶ τὴν δίκην βλάβης (*Δημοσθ. πρὸς Ἄφοβον ὑπὲρ φάνου, 15, σελ. 849*), ἢ τὴν δίκην συκοφαντίας ἢ κακοτεχνιῶν.

331. Οἱ διάδικοι ἐξεταζόμενοι ὑπὸ τοῦ Ἄρχοντος ὤφειλον νὰ ἀπαντήσωσι. — Ἔτι τοίνυν καὶ τοὺς ἀντιδίκους ἐπιδείξω ἔργω ὑμῖν ταῦτα μεμαρτυρηκότας. Ὅτε γὰρ αἱ ἀνακρίσεις ἦσαν πρὸς τῷ ἄρχοντι καὶ οὗτοι παρακατέβαλον ὡς ὑπὲρ γνησίων τῶνδ' Εὐκτήμονος ὄντων, ἐρωτώμενοι ὑφ' ἡμῶν τίς εἴη αὐτῶν μήτηρ καὶ ὅτου θυγάτηρ, οὐκ εἶχον ἀποδεῖξαι, διαμαρτυρομένων ἡμῶν καὶ τοῦ ἄρχοντος κελεύοντος ἀποκρίνεσθαι κατὰ τὸν νόμον (*Ἰσαῖος — Φιλοκτημ. 12*).

332. Ὁ ἐνάγων ἢ ὁ κατήγορος ὡρκίζοντο ὅτι θὰ ἐξακολουθήσουν τὴν δίκην, ὅταν ἑτοιμασθῶσιν αἱ ἀποδείξεις των. — Ἐάν τις δικάζηται παρὰ τοὺς ὅρκους, ἐξεῖναι τῷ φεύγοντι παραγράψασθαι, τοὺς δὲ ἄρχοντας περὶ τούτου πρῶτον εἰσάγειν, λέγειν δὲ πρότερον τὸν παραγραψάμενον· ὁπότερος δ' ἂν ἡττηθῇ τὸν ἐπωβελίαν ὀφείλειν. (*Ἰσοκρ. πρὸς Καλλίμ. 1*). Ὁ νόμος οὗτος εἰσήχθη μετὰ τὴν κατάλυσιν τῶν Τριάκοντα, ἐσκόπει δὲ τὴν παραγραφὴν τῶν πρὸ τῆς ἀμνηστείας γενομένων πράξεων.

333. Ὁ ἐνάγων ἢ μηνυτής, ἐὰν δὲν εἶχον πλήρεις τὰς ἀποδείξεις των, ἐζήτουν ἀναβολήν, ἥτις παρεχωρεῖτο δι' ἐγγράφου καλουμένου *ὑπωμοσία*. Ἐὰν εἰσήγετο ἡ δίκη, ἕτοιμος οὖσα, χωρὶς νὰ προβληθῇ ἔνστασίς τις, ἡ δίκη ὠνομάζετο *εὐθυδικία*, ὅτε ἀμφότεροι οἱ διάδικοι ὤμνυον, ὁ μὲν ἀληθῆ κατηγορήσειν, ὁ δὲ τ' ἀληθῆ ἀπολογήσειν, ἡ ἐνέργεια αὕτη ἐκαλεῖτο *ἀντωμοσία*, ἡ δὲ δίκη ἐκαλεῖτο *εἰσαγώγιμος*. Ὁ ὅρκος τῶν διαδίκων ἐγράφετο ἐπὶ πίνακος, καὶ ἐτίθετο μετὰ τῶν λοιπῶν ἀποδεικτικῶν μέσων εἰς τὸν *ἐχῖνον*, μεθ' ὃ ἐκληροῦντο οἱ δικασταί, καὶ προσδιωρίζετο ἡ ἡμέρα τῆς δίκης, ἥτις ἐκαλεῖτο *κυρία ἡμέρα*.

334. Ἐπειδὴ καὶ ἡ σὴ διεγράφη ἀμφισβήτησις, δόξαντος σοῦ ἕνεκα τῆς δίκης ἀπεῖναι, καὶ οὐ δημοσίᾳ ...καὶ συνεβεβήκει, ὡς φόμεθα ἡμεῖς, αὕτη καλλίστη ἀναβολὴ δημοσίᾳ τούτου ἀποδημοῦντος στρατευομένου (*Δημοσθ. Ὀλυμπιοδ. 24, σελ. 1174*).

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



335. *Ἀπολογία*. Ἀπολογητέον.

336. *Δύναμις καταθέσεως διαδίκων*. Τοῖν ἀντιδίκοιν ἐπάναγκες εἶναι ἀποκρίνασθαι ἀλλήλοις τὸ ἐρωτώμενον, μαρτυρεῖν δὲ μή.

337. *Ἔνστασις ἀπαραδέκτου*. Παραγράφεσθαι πρὸς τὸν ἀντίδικον, τὴν δίκην μὴ εἰσαγώγιμον εἶναι.

338. *Ἔνστασις ἐξοφλήσεως*. Παραγράφεσθαι περὶ ὧν ἄν τις ἀφεὶς καὶ ἀπαλλάξας πάλιν δικάζηται.

339. *Ἔνστασις ἀναρμοδιότητος*. Τὰς παραγραφὰς ἀντιλαγχάνειν, περὶ ὧν οὐκ εἰσὶν εἰσαγωγεῖς.

340. *Ἔνστασις μὴ νομίμου*. Ὑπὲρ μὲν τῶν μὴ γενομένων ὅλως συμβολαίων Ἀθήνησι, μήδ' εἰς τὸ Ἀθηναίων ἐμπόριον, παραγράφεσθαι.

341. *Δικαστικὰ ἔξοδα - Πρυτανεῖα*. Πρυτανείων δὲ τιθέτω ὁ διώκων καὶ ὁ διωκόμενος, εἰ δὲ μὴ διεγράφετο ἡ δίκη.

---

335. Οἱ διάδικοι ὑπερήσπιζον τὰ δίκαιά του μόνοι. Ἠδύναντο ἐντοσούτῳ νὰ προσλάβωσι συνήγορον ἕνεκα δεδικαιολογημένης αἰτίας. — Δέομαι οὖν ὑμῶν, ὦ ἄνδρες δικασταί, ἅπερ ἡγοῦμαι προσήκειν δεηθῆναι, νέον τε ὄντα καὶ ἀπείρως ἔχοντα τοῦ λέγειν, συνήγορόν με κελεῦσαι καλέσαι τῷ ἀγῶνι τούτῳ Ἀπολλόδωρον (*Δημοσθ. Νεαίρ. 14, σελ. 1349*).

336. *Ἰσαίου — Φιλοκτ. 12.*—Ἀπόκριναι, ὦ ἀγαθέ, καὶ γὰρ ὁ νόμος κελεύει ἀποκρίνεσθαι (*Σωκράτης πρὸν Μέλιτον, Πλάτων. Ἀπολογία Σωκράτ.*). — Μάρτυρες μέν εἰσιν οὗτοι, οἷς μηδὲν μέτεστι τοῦ πράγματος, περὶ οὗ ἡ δίκη ἐστὶν (*Δημοσθ. Βοιωτοῦ περὶ προικ. 58, σελ. 1025*). — Λόγῳ συμφέροντος ἀποκλείονται οἱ μάρτυρες.

337. Παραγραφὴ δ' ἦν ἡ αὐτὴ καὶ διαμαρτυρία, ὅταν τις μὴ εἰσαγώγιμον εἶναι λέγῃ τὴν δίκην ἢ ὡς κεκριμένος ἢ διαίτης γεγενημένης ἢ ὡς ἀφειμένος, ἢ ὡς τῶν χρόνων ἐξηκόντων ἐν οἷς ἔδει κρίνεσθαι... οἷον οὐκ εἰσαγγελίας ἀλλὰ παρανόμων, οὐ δημοσία ἀλλ' ἰδία, ἢ ὡς οὐ παρὰ τούτοις κρίνεσθαι δέον, οἷον οὐκ ἐν Ἀρείῳ πάγῳ ἀλλ' ἐπὶ Παλλαδίῳ. ἄγραπτος δὲ δίκη ἐκαλεῖτο ἡ ὑπὸ τῆς παραγραφῆς ἀναιρεθεῖσα καὶ διαγραφεῖσα (*Πολυδ. Η. 57*).

338. Ἴδε καὶ θέμα 194. — Τὴν γὰρ δίκην, ἐν ᾗ ταῦτα ἐμαρτυρήθη, παρεγράψατο Φορμίων πρὸς ἐμὲ μὴ εἰσαγώγιμον εἶναι ὡς ἀφέντος ἐμοῦ τῶν ἐγκλημάτων αὐτὸν (*Δημοσθ. Στέφαν. ψευδομ. 41, σελ. 1113*).

339. Ἤτοι προὐβάλλετο ἔνστασις ἀναρμοδιότητος. Πολλάκις γὰρ οἱ ἀντίδικοι παρεγράφοντο· οὐ πρὸς διαιτητήν με κρίνεσθαι δεῖ, ἀλλὰ πρὸς Ἄρχοντα ἢ Θεσμοθέτην (*Οὐλπιανός, Δημοσθ. Πανταίν. 33, σελ. 976*).

340. Ἴδε ἀνωτέρω θέμ. 201.

341. Δικαστικὰ ἔξοδα, πρυτανεῖα λεγόμενα, κατεβάλλοντο μόνον εἰς τὰς ἰδιωτικὰς δίκας, οὐχὶ καὶ εἰς τὰς δημοσίας. — Τὰ μὲν πρυτανεῖα ὡρισμένα, ὅ τι ἔδει καταβαλεῖν πρὸ τῆς δίκης τὸν διώκοντα καὶ τὸν διωκόμενον· εἰ δὲ μή, διέγραφον τὴν δίκην οἱ εἰσαγωγεῖς. ὁ δ' ἡττηθεὶς ἀπεδίδου τὸ παρ' ἀμφοτέρων δοθέν, ἐλάμβανον δ' αὐτὸ οἱ δικασταί. καὶ οἱ μὲν καὶ ἀπὸ ἑκατὸν δραχμῶν ἄχρι χιλίων δικαζόμενοι τρεῖς δραχμὰς κατετίθεντο, οἱ δὲ ἀπὸ χιλίων μέχρι μυρίων

Ακαδημία Αθηνών / Academy of Athens



342. *Διαμαρτυρία.* Ἐξεῖναι τοῖς ἀντιδίκοις ἂν βούλωνται, διαμαρτυρεῖν.

343. *Ἐρημοδικία.* Τοὺς ἐμπρόθεσμον δίκην ἔχοντας, εἶτα μὴ ἀπαντῶντας εἰς τὴν κυρίαν, ἐρήμην ἁλίσκεσθαι, τὸ δὲ τίμημα εἶναι χιλίας δραχμάς.

344. Τὴν μὴ οὖσαν ἀντιλαχεῖν ἐξεῖναι.

345. *Ἀπόδειξις - Ὁμολογία.* Τὰ ὡμολογημένα ἐπὶ τοῦ δικαστηρίου κύρια εἶναι.

346. *Μάρτυρες.* Μὴ μαρτυρεῖν τοὺς ἀτίμους.

---

τριάκοντα. οἱ δὲ οἴονται πρυτανεῖα εἶναι τὸ ἐπιδέκατον τοῦ τιμήματος, κατατίθεσθαι δ' αὐτὸ τοὺς γραψαμένους ἐπὶ μισθαποδοσίᾳ τῶν δικαστῶν (*Πολυδ. Η. 38*).—*Παρακαταβολὴ* δ' ἦν ἐπὶ μὲν τῶν πρὸς τὸ δημόσιον ἀμφισβητημάτων τὸ πέμπτον, ἐπὶ δὲ τῶν ἰδιωτικῶν τὸ δέκατον (*Πολυδ. Η. 39*).— *Ἐπωβελία* δ' ἦν τὸ ἕκτον τοῦ τιμήματος [μέρος], ὃ ὤφειλεν [[ὁ μὴ ἑλών, προσώφειλεν]] ὁ αἱρεθείς· ὠνόμασται δὲ ὅτι ὀβολὸς ἦν τὸ ἕκτον τῆς δραχμῆς (*Πολυδ. Η .39*). — (Ἡ ἐπωβελία παρείχετο εἰς τὸν δικαιούμενον διάδικον εἴς τι τὰς ἰδιωτικὰς δίκας καὶ εἰς τὰς φάσεις, ἐφ' ὅσον ὁ διώκων δὲν ἐλάμβανε τὸ πέμπτον τῶν ψήφων (*Δημοσθ. Ἀφόβου 384, καὶ Μνησικλ. Εὐεργ. 1158*). — Ἡ δὲ *παράστασις* δραχμὴ ἦν, ἣν ὁ διώκων παρὰ διαιτητῇ προσεισέφερεν (*Πολυδ. Η. 38*). — Ἡ παρακαταβολὴ παρείχετο συνήθως εἰς τὰς κληρονομικὰς δίκας, καὶ εἰς τὰς δίκας τὰς καλουμένας *ἐνεπίσκημμα* (μεσεγγύησις), δι' ὧν ἐζητεῖτο παρὰ τοῦ δημοσίου ὑπὸ πιστωτοῦ, ὅπως λάβῃ τὰ ὀφειλόμενα αὐτῷ ἐκ τῆς δημευθείσης περιουσίας τοῦ ὀφειλέτου του, ἤτοι, «ὅστις ἀντιλέγοι ὡς αὐτὸς δικαιότερος ὢν ἔχειν τὸν κλῆρον ἐξ ἀγχιστείας ἢ διαθηκῶν· παρακατέβαλλε δὲ τῆς οὐσίας τὸ δέκατον, ὡς προσεισοίσων ἐὰν ἡττηθῇ» (*Πολυδ. Η. 32*).

342. Τρόπος τις ἦν παραγραφῆς ἡ διαμαρτυρία· πρὸ γὰρ τοῦ εἰσαχθῆναι τὴν δίκην εἰς τὸ δικαστήριον, ἐξῆν τῷ βουλομένῳ διαμαρτυρῆσαι ὡς εἰσαγώγιμος ἐστὶν ἡ δίκη, ἢ οὐκ εἰσαγώγιμος· διαφέρει δὲ τῆς παραγραφῆς τῷ τὴν διαμαρτυρίαν γίνεσθαι οὐ μόνον ὑπὸ τῶν φευγόντων, ἀλλὰ καὶ ὑπὸ τῶν διωκόντων· καὶ πρότερόν γε τῷ διώκοντι ἦν προβάλλεσθαί τινα μαρτυροῦντα εἰσαγώγιμον εἶναι τὴν δίκην, καὶ περὶ τούτου πρότερον ἐγίνετο ἡ κρίσις πρὸς αὐτὸν τὸν διαμαρτυρήσαντα, οὐ πρὸς τὸν ἐξ ἀρχῆς δικαζόμενον. Εἰ δὲ μὴ προὐβάλλετο μάρτυρα ὁ διώκων, τότε ἐξῆν τῷ φεύγοντι προσαγαγεῖν τινα μαρτυροῦντα μὴ εἰσαγώγιμον εἶναι τὴν δίκην, καὶ πάλιν πρὸς τὸν διαμαρτυρήσαντα ὁ ἀγὼν ἐγίνετο (Γραμματικοί).

343. Ἐὰν ὁ κατηγορούμενος ἢ ὁ ἐναγόμενος δὲν ἐνεφανίζετο κατὰ τὴν προσδιορισθεῖσαν ἡμέραν τῆς δίκης, κατεδικάζετο ἐρήμην, ἤτοι, ἐξ ἐρήμης καταδικασθῆναι, ἢ ἐρήμην ὀφλισκάνειν, κατεδικάζετο δὲ εἰς πρόστιμον χιλίων δραχμῶν.

344. Ἀντιλαχεῖν δὲ δίκην ἐξῆν, ὁπότε τις μὴ παρὼν ἐν δικαστηρίῳ κατακηρυχθεὶς καὶ μὴ ὑπακούων ἐρήμην ὄφλοι. ἀντιλαχεῖν δὲ δύο ἐντὸς μηνῶν ὑπῆρχεν. εἰ δὲ μὴ τοῦτο σχοίη, τὸ ἐγγεγραμμένον ὦφλε καὶ ἄτιμος ἦν (*Πολυδ. Η. 61*). — (Ἡ δίκη αὕτη εἶναι ἰσοδύναμος μὲ τὴν παρ' ἡμῖν ἀνακοπήν). — *Ἐν διαιτηταῖς.* Ὁπόταν τις παρὰ διαιτηταῖς παραγραψάμενος, καὶ ὑπομοσάμενος νόσον ἢ ἀποδημίαν, εἰς τὴν κυρίαν μὴ ἀπαντήσας ἐρήμην ὄφλῃ, ἐξῆν ἐντὸς δέκα ἡμερῶν τὴν μὴ οὖσαν ἀντιλαχεῖν, καὶ ἡ ἐρήμη ἐλύετο (*Πολυδ. Η. 60*).

345. *Ἰσαίου — Δικαιογ. 1.*

346. Ἀνίκανοι πρὸς τὸ μαρτυρεῖν ἦσαν καὶ οἱ δοῦλοι. — Ἠρόμην αὐτὸν πρὸς τῷ διαιτητῇ εἰ ἔτι δοῦλος εἴη ὁ Αἰσχρίων, καὶ ἠξίουν αὐτὸν ἐν τῷ αὐτοῦ δέρματι τὸν ἔλεγχον διδόναι. ἀποκριναμένου δέ μοι τούτου ὅτι ἐλεύθερος εἴη, τῆς μὲν ἐξαιτήσεως ἐπέσχον, μαρτυρίαν δ' αὐτὸν ἠξίουν

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

347. Μὴ ἐξεῖναι διαμαρτυρεῖν τοῖς ξένοις ἐπὶ ταῖς γραφαῖς ταῖς τοῦ ἀπροστασίου. Ἐπὶ ταῖς γραφαῖς ταῖς τοῦ ἀποστασίου διαμαρτυρεῖν τῷ βουλομένῳ, ὁμοίως τῶν ξένων καὶ τῶν ἐπιχωρίων.

348. Μὴ μαρτυρεῖν αὐτὸν αὐτῷ, οὔτε ἐπὶ ταῖς γραφαῖς, οὔτε ἐπὶ ταῖς δίκαις, οὔτ' ἐν ταῖς εὐθύναις.

349. *Συγγενοῦς*. Μὴ ἐπάναγκες εἶναι οἰκείου καταμαρτυρῆσαι ἂν τἀληθῆ.

350. *Αἱ μαρτυρίαι ἔγγραφοι*. Μαρτυρεῖν ἐν τῷ γραμματείῳ.

351. *Ὅρκισις μαρτύρων*. Τοὺς μάρτυρας ὅρκον διομόσασθαι (α). τρεῖς θεοὺς ὀμνύναι, ἱκέσιον, καθάρσιον, Ἐξακεστήριον (β).

352. Ἃ ἂν εἰδῇ τις, καὶ οἷς ἂν παραγένηται πραττομένοις, ταῦτα μαρτυρεῖν ἐν γραμματείῳ γεγραμμένα.

---

ἐμβαλέσθαι τοῦ Αἰσχρίωνος ὡς ἐλευθέρου ὄντος (*Δημοσθ. Τιμόθ. 55, σελ. 1200*). — Οἱ δοῦλοι ἐξεταζόμενοι ὑπεβάλλοντο εἰς βάσανον.

347. Ἴδε ἀνωτέρω θέμα 55. — Οἱ νόμοι κελεύουσι διαμαρτυρεῖν ἐπὶ ταῖς γραφαῖς ταῖς τοῦ ἀποστασίου τὸν βουλόμενον ὁμοίως τῶν ξένων καὶ τῶν ἐπιχωρίων· μήποτ' οὖν ἐν μὲν ταῖς τοῦ ἀποστασίου δίκαις κεκώλυνται διαμαρτυρεῖν οἱ ξένοι, ἐν δὲ ταῖς τοῦ ἀπροστασίου οὐ κεκώλυνται (*Ὑπερείδ. Ἀριστογ. 16*).

348. Δὲν ἠδύνατό τις νὰ μαρτυρήσῃ δι' ἑαυτόν. — Τοῖν ἀντιδίκοιν ἐπάναγκες εἶναι ἀποκρίνεσθαι ἀλλήλοις τὸ ἐρωτώμενον, μαρτυρεῖν δὲ μή. (*Δημοσθ. Στεφάνου Β 10 σελ. 1131*).

349. Οὐ μέντοι οὐδὲ τούτου γ' ἔφασαν καταμαρτυρῆσαι ἂν τἀληθῆ· οἰκεῖον γὰρ αὐτοῖς εἶναι (*Δημοσθ. Τιμόθ. 38, σελ. 1195*). — Δεινὸν μὲν γάρ ἐστιν εἰ καὶ καθ' ὅτου τις οὖν τὰ ψευδῆ μαρτυρεῖ, πολλῷ δὲ δεινότερον καὶ πλείονος ὀργῆς ἄξιον, *εἰ κατὰ τῶν συγγενῶν*· οὐ γὰρ τοὺς γεγραμμένους νόμους ὁ τοιοῦτος ἄνθρωπος μόνον, ἀλλὰ καὶ τὰ τῆς φύσεως οἰκεῖα ἀναιρεῖ (*Δημοσθ. Στεφάν. Α. 53, σελ. 1117*). — Τοῦτο εἶναι εὔλογον, διότι ὁ καταμαρτυρῶν συγγενής, ἐνεργεῖ συνήθως μὲ ἐμπάθειαν.

350. Ἐνθυμεῖσθε ὅτι διὰ ταῦτα ὁ νόμος μαρτυρεῖν ἐν γραμματείῳ κελεύει, ἵνα μήτ' ἀφελεῖν ἐξῇ μήτε προσθεῖναι τοῖς γεγραμμένοις μηδέν. τότ' οὖν αὐτὸν ἔδει ταῦτ' ἀπαλείφειν κελεύειν, ἃ νῦν οὔ φησι μεμαρτυρηκέναι, οὐ νῦν ἐνόντων ἀναισχυντεῖν. ἔπειτα καὶ τόδε σκοπεῖτε, εἰ ἐάσαιτ' ἂν ἐναντίον ὑμῶν ἐμὲ προσγράψαι τε λαβόντα τὸ γραμματεῖον. οὐ δήπου. οὔκουν οὐδὲ τοῦτον ἀφαιρεῖν τῶν γεγραμμένων ἐᾶν προσήκει (*Δημοσθ. Στεφάνου Α. 44, σελ. 1115*).

351. α) Τοῦτο δὲ δέον σε διομόσασθαι ὅρκον τὸν μέγιστον καὶ ἰσχυρότατον, ἐξώλειαν σαυτῷ καὶ γένει καὶ οἰκίᾳ τῇ σῇ ἐπαρώμενον, ἦ μὴν μὴ ἄλλα κατηγορήσειν ἐμοῦ ἢ εἰς αὐτὸν τὸν φόνον, ὡς ἔκτεινα... ἀνώμοτος μὲν αὐτὸς ἐμοῦ κατηγορεῖς, ἀνώμοτοι δὲ οἱ μάρτυρες καταμαρτυροῦσι, δέον αὐτοὺς τὸν αὐτὸν ὅρκον σοὶ διομοσαμένους καὶ ἁπτομένους τῶν σφαγίων καταμαρτυρεῖν ἐμοῦ (*Ἀντιφῶντος — περὶ Ἡρώδου φόνου, 11*). — β) Τρεῖς θεοί, παρὰ Σόλωνι, ἐν τοῖς Ἄξοσι ὅρκῳ τέτακται (*Ἡσύχιος*). Ἱκέσιος ὁ Ζεύς, Καθάρσιος ὁ Ἀπόλλων καὶ Ἐξκεστήριος ὁ Ἀσκληπιός, ὡς θεραπευτικός. — Τὸν ὅρκον τοῦτον ἔδιδε ἡ μὴ δυναμένη νὰ παρασταθῇ ὡς μάρτυς ἐν δικαστηρίῳ μήτηρ ἢ συγγενὴς (*Δημοσθ. Ἀφόβου 26, σελ. 852, κ.λπ.*).

352. Μαρτυρία δὲ καλεῖται, ὅταν τις αὐτὸς ἰδὼν μαρτυρῇ, ἐκμαρτυρία δέ, ὅταν τις παρὰ τοῦ ἰδόντος ἀκούσας λέγῃ (*Πολυδ. Η. 36*).

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



353. *Ἐκμαρτύρια.* Ἀκοὴν εἶναι μαρτυρεῖν τεθνεῶτος, ἐκμαρτυρίαν δὲ ὑπερορίου καὶ ἀδυνάτου.

354. *Λιπομαρτύριον.* Τιθέναι τῷ τὴν μαρτυρίαν λιπόντι τὴν δραχμὴν τοῦ λειπομαρτυρίου.

355. *Ἄρνησις μαρτυρίας.* Τὸν ἐκκλητευθέντα ἢ μαρτυρεῖν, ἢ ἐξομόσασθαι, ἢ χιλίας δραχμὰς ἀποτεῖσαι τῷ δημοσίῳ.

356. *Ψευδομαρτυρία.* Ἔστω δὲ καὶ ὑπόδικος τῶν ψευδομαρτυριῶν ὁ μαρτυρήσας αὐτοῦ τούτου, ὅτι μαρτυρεῖ παρὰ τὸν νόμον, καὶ ὁ προβαλλόμενος κατὰ ταὐτά.

---

353. Ἀκοὴν δ' οὐκ ἐῶσι ζῶντος μαρτυρεῖν, ἀλλὰ τεθνεῶτος. τῶν δὲ ἀδυνάτων καὶ ὑπερορίων, ἐκμαρτυρίαν γεγραμμένην ἐν τῷ γραμματείῳ... ἀκούσας δὲ Φορμίωνος, μεμαρτύρηκεν ἀκοὴν τὰ ψευδῆ τε καὶ παρὰ τὸν νόμον. καὶ ταῦθ' ὅτι ἀληθῆ λέγω, αὐτὸν ὑμῖν τὸν νόμον ἀναγνώσεται (*Δημοσθ. Στεφάν. Β. 7,8 σελ. 1130*). — Παρὰ δὲ τῶν ἀσθενούντων ἢ τῶν ἀποδημεῖν μελλόντων ὅταν τις ἐκμαρτυρίαν ποιῆται, τοὺς ἐπιεικεστάτους τῶν πολιτῶν καὶ τοὺς ἡμῖν γνωριμωτάτους ἕκαστος ἡμῶν παρακαλεῖ μάλιστα, καὶ οὐ μεθ' ἑνὸς οὐδὲ μετὰ δυοῖν, ἀλλ' ὡς ἂν μετὰ πλείστων δυνώμεθα τὰς ἐκμαρτυρίας πάντες ποιούμεθα, ἵνα τῷ τε ἐκμαρτυρήσαντι μὴ ἐξῇ ὕστερον ἐξάρνῳ γενέσθαι τὴν μαρτυρίαν (*Ἰσαίου — Πύρρου, 20*).

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

354. Λιπομαρτυρίου δὲ κατὰ τῶν ἰδόντων μὲν καὶ μαρτυρήσειν ὁμολογησάντων, ἐν δὲ τῷ καιρῷ τὴν μαρτυρίαν ἐκλιπόντων, τὸν δ' οὐ βουλόμενον μαρτυρεῖν ἐκλήτευον, ἀνάγκην τοῦ μαρτυρῆσαι προστιθέντες· ἔδει δὲ αὐτὸν ἢ μαρτυρεῖν, ἢ ἐξομόσασθαι ὡς οὐκ εἰδείη ἢ μὴ παρείη ἢ χιλίας ἀποτίνειν. κλητεύεσθαι μὲν οὖν ἐστι τὸ καλεῖσθαι εἰς μαρτυρίαν, ἐκκλητεύεσθαι δὲ τὸ δίκην ὀφείλειν ἐπὶ τῷ τὰς χιλίας καταβαλεῖν (*Πολυδ. Η. 36*). — Ἐπειδὴ δ' ἡ δίαιτα ἦν, προσκληθεὶς ἀπὸ τῆς οἰκίας (οὐ γὰρ ἦν φανερός) ἔλιπε τὴν μαρτυρίαν πεισθεὶς ὑπὸ τουτουί. τιθέντος δέ μου τὴν δραχμὴν τοῦ λιπομαρτυρίου κατὰ τὸν νόμον (*Δημοσθ. Τιμοθ. 19, σελ. 1190*).

355. Ἐπειδὴ ἐν δικαστηρίῳ ἐσμέν, γέγραφα μαρτυρίαν τῷ Μισγόλᾳ... ἐὰν δὲ προαιρῆται ἐκκλητευθῆναι μᾶλλον ἢ τἀληθῆ μαρτυρεῖν, ὑμεῖς τὸ ὅλον πρᾶγμα συνίδετε. Εἰ γὰρ ὁ μὲν πράξας αἰσχυνεῖται καὶ προαιρήσεται χιλίας μᾶλλον δραχμὰς ἀποτεῖσαι τῷ δημοσίῳ, ὥστε μὴ δεῖξαι τὸ πρόσωπον τὸ ἑαυτοῦ ὑμῖν... Ἐὰν δ' ἄρα ὑπακούσῃ μέν, τράπηται δὲ ἐπὶ τὸ ἀναιδέστατον, ἐπὶ τὸ ἐξόμνυσθαι τὰς ἀληθείας (*Αἰσχίν. Τιμάρχ. 45-47*). — Διὰ τῆς *κλητεύσεως*, ὁ μάρτυς προεξετάζετο εἰς τὴν ἀνάκρισιν, ἐὰν δὲ δὲν ἐπαρουσιάζετο εἰς τὸ ἀκροατήριον κατεδικάζετο εἰς πρόστιμον δραχμῆς. Διὰ τῆς *ἐκκλητεύσεως*, ἐκαλοῦντο οἱ γνωρίζοντες μὲν τὰ πράγματα, ἀλλ' ἀρνούμενοι νὰ καταθέσουν περὶ αὐτῶν, προσεκαλοῦντο κατ' εὐθεῖαν εἰς τὸ ἀκροατήριον, ἔνθα ὤφειλον ἢ νὰ μαρτυρήσωσιν ἢ νὰ ἀρνηθῶσι ὅτι δὲν ἐγνώριζόν τι, ἐὰν δὲν προσήρχοντο κατεδικάζοντο εἰς πρόστιμον χιλίων δραχμῶν.

356. Σκέψασθε τοίνυν τουτονὶ τὸν νόμον, ὃς κελεύει ὑποδίκους εἶναι τῶν ψευδομαρτυριῶν καὶ κατ' αὐτὸ τοῦτο, ὅτι μαρτυρεῖ παρὰ τὸν νόμον (*Δημοσθ. Στεφάν. Β'. 10, σελ. 1132*). — Ὁ ψευδομάρτυς κατεδιώκετο διὰ τῆς δίκης ψευδομαρτυριῶν, ἐν ᾗ ἐζητεῖτο καὶ ἡ ἀποκατάστασις τῆς ζημίας τοῦ βλαβέντος. Ἡ δίκη αὕτη ἐκαλεῖτο καὶ *ἐπίσκηψις*, καὶ ἐπισκήπτεσθαι τῇ μαρτυρίᾳ (*Δημοσθ. Ἀφοβ. φανοῦ, 41, σελ. 856, καὶ 7, σελ. 846, Ἰσαίου — Πύρρου 3, 11, 14, κ.λπ.*). — Ὁ ἀγὼν ἐν τῇ δίκῃ ταύτῃ ἠδύνατο νὰ εἶναι τιμητὸς (*Δημοσθ. Ἀφοβ. σελ. 849,*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



357. *Ἀνάδικοι δίκαι.* Εἰ ἑάλωσαν πάντες οἱ μάρτυρες ψευδομαρτυριῶν.

358. *Ἔφεσις.* Περὶ ἐκείνων ὅσα αἱ ἀρχαὶ κρίνουσιν, εἰς τὸ δικαστήριον ἐφέσεις εἶναι τοῖς βουλομένοις.

359. Ἀπὸ τῶν κληρωτῶν διαιτητῶν εἰς ἕτερον ἐφεῖναι δικαστήριον.

360. *Δικαστικαὶ ἀποφάσεις - Ἰσοψηφία.* Τὸν φεύγοντα νικᾶν ἴσαις ψήφοις (α). *Καδίσκοι.* Τοὺς καδίσκους τιθέναι κατὰ τὸν ἀριθμὸν τῶν ἀμφισβητούντων (β).

361. *Κῆρυξ.* Τὸν κήρυκα κυρύττειν. Τῶν ψήφων ἡ τετρυπημένη ὅτῳ δοκεῖ ἀδικῆσαι ὁ δεῖνα, ἡ δὲ πλήρης ὅτῳ μή.

---

*859*). — Ὁ παραπείσας τινὰ εἰς ψευδομαρτυρίαν κατεδιώκετο διὰ τῆς *δίκης κακοτεχνιῶν* (*Δημοσθ. Τιμόθ. 56, σελ. 1201*).

357. *Ἀνάδικος κρίσις.* Εἰ ἑάλωσαν πάντες οἱ μάρτυρες ψευδομαρτυριῶν, ἢ οἱ ὑπερημίσεις, ἐκρίνετο ἄνωθεν ἡ δίκη. Οὐκ ἐπὶ πάντων δὲ τῶν ἀγώνων ἐγίγνοντο ἀνάδικοι αἱ κρίσεις, ἀλλ' ὡς φησὶ Θεόφραστος ἐν Ζ'. νόμων, ἐπὶ μόνης ξενίας, καὶ ψευδομαρτυριῶν καὶ κλήρων (*σχόλ. εἰς Πλάτων. Νόμους Γ'. 530, Πολυδ. Η'. 23, Ἁρποκρατ. ἀναδικάσασθαι, Ἰσαίου — Ἀγνίου 46, Δικαιογ. 16*). — Μετὰ τὴν κατάλυσιν τῶν Τριάκοντα τυράννων, ἠκυρώθησαν ὅλαι αἱ ὑπὸ τὸ κράτος αὐτῶν ἐκδοθεῖσαι ἀποφάσεις, «ὁπόσα δ' ἐπὶ τῶν τριάκοντ' ἐπράχθη ἢ δίκη ἐδικάσθη, ἢ ἰδίᾳ ἢ δημοσίᾳ, ἄκυρα ἔστων» (*Δημοσθ. Τιμοκρ. 56, σελ. 718*). — Ἐπίσης ἀνάδικος δίκη ἐχώρει ἐπὶ ἐρημοδικίας, ὅτε ὁ καταδικασθεὶς ἰσχυρίζετο ὅτι κακῶς ἐδικάσθη ἐρήμην, ὅτε τὸ ἔγγραφον τῆς ζητουμένης ἀκυρότητος, ἐκαλεῖτο, *ἐρήμην ἀντιλαχεῖν*. — Ἀντιλαχεῖν δὲ δίκην ἐξῆν, ὁπότε τις μὴ παρὼν ἐν δικαστηρίῳ κατακηρυχθεὶς καὶ μὴ ὑπακούων ἐρήμην ὄφλοι. ἀντιλαχεῖν δὲ δύο ἐντὸς μηνῶν ὑπῆρχεν. εἰ δὲ μὴ τοῦτο σχοίη, τὸ ἐγγεγραμμένον ὦφλε καὶ ἄτιμος ἦν (*Πολυδ. Η. 61*).

358. Ἔφεσις δέ ἐστιν, ὅταν τις ἀπὸ διαιτητῶν ἢ ἀρχόντων ἢ δημοτῶν ἐπὶ δικαστὴν ἐφῇ, ἢ ἀπὸ βουλῆς ἐπὶ δῆμον, ἢ ἀπὸ δήμου ἐπὶ δικαστήριον, ἢ ἀπὸ δικαστῶν ἐπὶ ξενικὸν δικαστήριον· ἐφέσιμος δ' ὠνομάζετο ἡ δίκη. αὗται δὲ καὶ ἔκκλητοι δίκαι ἐκαλοῦντο. τὸ δὲ παρακαταβαλλόμενον ἐπὶ τῶν ἐφέσεων, ὅπερ οἱ νῦν παράβολον καλοῦσι (*Πολυδ. Η. 62*). — Αἱ ἀπὸ τῶν διαιτητῶν (*Δημοσθ. Ἀφόβ. ὑπὲρ φαν. 58, σελ. 862, πρὸς Βοιωτ. προικ. 16, 17, σελ. 1013*), αἱ κατὰ τοῦ ἀρνησιδικοῦντος ἄρχοντος εἰς τὴν ἐκκλησίαν τοῦ δήμου (*Ἀντιφῶντος — Χορευτ.*). — Ἐπὶ τῶν ἀποφάσεων τῆς Ἡλιαίας, κυριάρχου δικαστηρίου, δὲν ἐχώρει ἔφεσις, κατὰ τὸν κανόνα, «οὐκ ἐᾷ περὶ ὧν ἅπαξ γνῷ δικαστήριον πάλιν χρηματίζειν» (*Δημοσθ. Τιμοκρ. 55, σελ. 717*). — Ὅσων δίκη πρότερον ἐγένετο ἢ εὔθυνα ἢ διαδικασία περί του ἐν δικαστηρίῳ, ἢ ἰδίᾳ δημοσίᾳ, ἢ τὸ δημόσιον ἀπέδοτο, μὴ εἰσάγειν περὶ τούτων εἰς τὸ δικαστήριον, μηδ' ἐπιψηφίζειν τῶν ἀρχόντων μηδένα, μηδὲ κατηγορεῖν ἐώντων ἃ οὐκ ἐῶσιν οἱ νόμοι... Τὰς δίκας καὶ τὰς διαίτας, ὅσαι ἐγένοντο ἐπὶ τοῖς νόμοις ἐν δημοκρατουμένῃ τῇ πόλει, κυρίας εἶναι (*Δημοσθ. Τιμοκρ. 54 - 56, σελ. 717 - 8*).

359. Ἴδε προηγουμένην σημείωσιν. — Ὁ γὰρ διαιτητὴς τὸ ἐπιεικὲς ὁρᾷ, ὁ δὲ δικαστὴς τὸν νόμον· καὶ τούτου ἕνεκα διαιτητὴς εὑρέθη (*Ἀριστοτ. Ρητορ. Α. 13.1474b 20. 22*).

360. Ὁ κατηγορούμενος ἀθροῦται ἐν ἰσοψηφίᾳ.

361. Ψήφους δ' εἶχον χαλκᾶς δύο, τετρυπημένην καὶ ἀτρύπητον, καὶ κάδον, ᾧ κημὸς ἐπέκειτο, δι' οὗ καθίετο ἡ ψῆφος. αὖθις δὲ δύο ἀμφορεῖς, ὁ μὲν χαλκοῦς ὁ δὲ ξύλινος, ὁ μὲν κύριος ὁ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



362. *Καθορισμὸς ποινῆς.* Τοὺς δικαστὰς προτιμᾶν τὴν τιμωρίαν, τὸν φεύγοντα ἀντιτιμῆσαι αὐτῷ, ὅτι τοῦδε εἰμὶ ἄξιος, λοιπὸν παρὰ τῷ δικαστῇ εἶναι τὴν κρίσιν τοῦ ἀνασχέσθαι, ἢ οὔ.

363. *Αἰτιολογικόν.* Τοὺς κρίνοντας γράφειν τὰ κεφάλαια ἕκαστον.

364. *Κῦρος ἀποφάσεων.* Τὰς δίκας καὶ τὰς διαίτας, ὅσαι ἐγένοντο ἐπὶ τοῖς νόμοις ἐν δημοκρατουμένῃ τῇ πόλει, κυρίας εἶναι... Ὁπόσα δ' ἐπὶ τῶν τριάκοντ' ἐπράχθη ἢ δίκη ἐδικάσθη, ἢ ἰδίᾳ ἢ δημοσίᾳ, ἄκυρα εἶναι.

365. *Δεδικασμένον.* Ὅσων δίκη πρότερον ἐγένετο, ἢ εὔθυνα, ἢ διαδικασία περί του ἐν δικαστηρίῳ, ἢ ἰδίᾳ ἢ δημοσίᾳ, ἢ τὸ δημόσιον ἀπέδοτο, μὴ εἰσάγειν περὶ τούτων εἰς τὸ δικαστήριον, μηδ' ἐπιψηφίζειν τῶν ἀρχόντων μηδένα, μηδὲ κατηγορεῖν ἐώντων ἃ οὐκ ἐῶσιν οἱ νόμοι.

---

δ' ἄκυρος· τῷ δὲ χαλκῷ ἐπῆν ἐπίθημα μιᾷ ψήφῳ χώραν ἔχον... οὐ ὕστερον μυστικῶς δικάζοντες ἦσαν ἐκ τῶν ὑπωπτευκότων. τὸ δὲ δικαστήριον περιεσχοινίζετο, τοῦ μὲν βασιλέως παραγγείλαντος, τῶν δὲ θεσμοθετῶν πληρούντων τὸ δικαστήριον. τὸ δὲ περισχοίνισμα ἀπὸ πεντήκοντα ποδῶν ἐγίνετο· καὶ οἱ ὑπηρέται ὑφειστήκεισαν, ὅπως μηδεὶς ἀνεπόπτευτος προσίῃ. (*Πολυδ. Η. 123*).— Ὁ κῆρυξ περιφερόμενος, ἔχων δύο κάδους εἰς χεῖρας συνήθροιζε τὰς ψήφους, καλῶν, ἐξεφώνει, ὅτῳ δοκεῖ ἀδικεῖν ἀράτω τὴν χεῖρα, ᾗ ὅτῳ δοκεῖ μὴ ἀδικεῖν ἀράτω τὴν χεῖρα (*Λυσίου - Ἁρποκρ. 10, Ἐργοκλ. 14*) ἢ ὁ μὴ εὐψηφοφορικῶς ἐγερθεὶς βαλλέτω.

362. Ἐπὶ γὰρ τοῖς ἰδιωτικοῖς ἐκ τῶν νόμων ὥριστο τὸ τίμημα, ἐπὶ δὲ τοῖς δημοσίοις ὁ κατήγορος ἐτιμᾶτο (*Οὐλπ. εἰς Δημοσθ. Μειδίου*). — Ὁ κατήγορος τίμημα ἐπιγράφεται, ὁπόσου δοκεῖ ἄξιον εἶναι τὸ ἀδίκημα, οἱ δὲ δικασταὶ ἐπικρίνουσιν (*Ἁρποκρατ.*). — Ἀλλ' ἐπειδὴ περὶ τοῦ τιμήματος λαμβάνονται ψῆφον οἱ δικασταί, δεομένων ἡμῶν συγχωρῆσαι, οὐκ ἤθελον· ἀλλὰ πεντεκαίδεκα ταλάντων ἐτιμᾶτο, ἀλλ' οἱ δικασταὶ ἐτίμησαν ταλάντου (*Δημοσθ. Νεαίρ. 8, σελ. 1348*). Καὶ τιμωμένων τῶν δικαστῶν τί χρὴ παθεῖν αὐτὸν ἢ ἀποτῖσαι, πέντε καὶ εἴκοσιν ἔφη δραχμὰς ἀποτίσειν· Εὐβουλίδης μὲν γὰρ ἑκατὸν φησιν ὁμολογῆσαι· θορυβησάντων δὲ τῶν δικαστῶν, «ἕνεκα μέν», εἶπε, «τῶν ἐμοὶ διαπεπραγμένων τιμῶμαι τὴν δίκην τῆς ἐν πρυτανείῳ σιτήσεως». Καὶ οἳ θάνατον αὐτοῦ κατέγνωσαν (*Διογ. Λαερτ. Σωκράτη, 42*).

363. Ὅτι οὓς ἡ πόλις νομίζει θεούς, Σωκράτης οὐ νομίζει· ὅτι ἕτερα καινὰ δαιμόνια εἰσφέρει, ὅτι τοὺς νέους διαφθείρει (*Πλάτων. Ἀπολογ. Σωκράτους*).— Δικάσειν γὰρ ὀμωμόκατε ὑμεῖς οὐ περὶ ὧν ἂν ὁ φεύγων ἀξιοῖ, ἀλλ' ὑπὲρ αὐτῶν ὧν ἂν ἡ δίωξις ᾖ (*Δημοσθ. Στέφ. ψευδομ. Α. 50, σελ. 1116*).

364. *Δημοσθ. Τιμοκρ. 56.* — Τὰς μὲν δίκας, ὦ ἄνδρες, καὶ τὰς διαίτας ἐποιήσατε κυρίας εἶναι, ὁπόσαι ἐν δημοκρατουμένῃ τῇ πόλει ἐγένοντο, ὅπως μήτε χρεῶν ἀποκοπαὶ εἶεν, μήτε δίκαι ἀνάδικοι γίγνοιντο, ἀλλὰ τῶν ἰδίων συμβολαίων αἱ πράξεις εἶεν· τῶν δὲ δημοσίων ἐφ' ὁπόσοις ἢ γραφαὶ εἰσιν ἢ φάσεις ἢ ἐνδείξεις ἢ ἀπαγωγαί, τούτων ἕνεκα τοῖς νόμοις ἐψηφίσασθε χρῆσθαι ἀπ' Εὐκλείδου ἄρχοντος (*Ἀνδοκίδ. Μυστηρ. 88*).

365. *Δημοσθ. Τιμοκρ. 54.* — Τὸ δεδικασμένον ἀντὶ ἀληθείας παραλαμβάνεται. Οἱ νόμοι δ' οὐκ ἐῶσι δὶς πρὸς τὸν αὐτὸν περὶ τῶν αὐτῶν οὔτε δίκας οὔτ' εὐθύνας οὔτε διαδικασίαν οὔτε ἄλλο τοιοῦτ' οὐδὲν εἶναι (*Δημοσθ. Λεπτίν. 147, σελ. 502*).

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



366. *Διαιτησία.* Τὸν διαιτητὴν ὀμόσαντα διαιτᾶν.

367. Τὸν διαιτητὴν μένειν ἄχρι τῆς ἑσπέρας, μὴ φανέντος δὲ τοῦ φεύγοντος, καταδικάζειν τὴν καταδίκην.

368. Ὁ Ἥλιος ἐπὶ τῶν ὀρῶν ἡ ἐσχάτη ὥρα ἔστω.

369. *Ἐμπορικαὶ δίκαι.* Τὰς δίκας εἶναι πρὸς τοὺς θεσμοθέτας τοῖς ναυκλήροις καὶ τοῖς ἐμπόροις τῶν Ἀθήναζε, καὶ τῶν Ἀθήνηθεν συμβολαίων, περὶ ὧν ἂν ὦσι συγγραφαί. Ἐάν δέ τι ἀδικῶνται ἐν τῷ ἐμπορίῳ, ἐνθένδε ποι πλέοντες, ἢ ἑτέρωθεν δεῦρο, δεδέσθαι, ἕως ἂν ἐκτίσωσιν ὅ τι ἂν αὐτῶν καταγνωσθῇ, ἂν δέ τις παρὰ ταῦτα δικάζηται, παραγράφεσθαι ἐξεῖναι.

370. *Ἔμμηνοι δίκαι.* Ἐκαλοῦντο αἱ δικαζόμενοι ἐντὸς μηνὸς ἀπὸ τῆς εἰσα-

---

(366) Ἴδε θέμα 178. — Κατὰ τοὺς νόμους γὰρ ἐπέτρεψα καὶ ἀπήνεγκα πρὸς τὴν ἀρχήν· οὗτος δὲ τὸν κατὰ τοὺς νόμους ἀπενηνεγμένον διαιτητὴν ἔπεισεν ἀνώμοτον διαιτῆσαι, ἐμοῦ διαμαρτυρομένου κατὰ τοὺς νόμους ὀμόσαντα διαιτᾶν (*Δημοσθ. Καλλιπ. 30, σελ. 1244*). — Οἱ διαιτηταὶ διακρίνονται εἰς δημοσίους καὶ ἰδιωτικούς. Οἱ δημόσιοι ἔδει νὰ εἶναι ὑπερπεντηκοντούτεις (*Πολυδ. Η. 126*), ἐξελέγοντο ἐξ ἑκάστης φυλῆς (*Δημοσθ. Εὐεργ. 12*) δι' ἓν ἔτος (*Δημοσθ. Μειδ. 86*) ὡρκίζοντο δι' ἑκάστην ὑπόθεσιν (*Ἰσαίου — Δικαιογ. 54*) καὶ ἐδίκαζον εἰς διάφορα μέρη, καὶ ἐπληρώνοντο ὑπὸ τῶν διαδίκων ἀνὰ μίαν δραχμήν, καλουμένην παράστασιν. — Πάλαι δ' οὐδεμία δίκη πρὶν ἐπὶ διαιτητὰς ἐλθεῖν εἰσήγετο (*Πολυδ. Η. 126*), βραδύτερον ὅμως ὁ διάδικος εἶχε τὸ δικαίωμα ἢ νὰ ἀναθέσῃ τὴν λύσιν τῆς ὑποθέσεώς του εἰς διαιτητὴν ἢ νὰ εἰσαγάγῃ τὴν δίκην εἰς δικαστήριον (*Δημοσθ. Ἀνδροτ. 26*). — Οἱ ἰδιωτικοὶ ἐκαλοῦντο καὶ διαλλακταὶ (*Ἰσαίου — Δικαιογ. 51*), οὗτοι ἐὰν τοῖς ἐδίδετο ἐντολὴ ὑπὸ ὅρους (δίαιτα ἐπὶ ῥητοῖς, *Ἰσοκρ. Καλλ. 11*, ἢ ἐπιτροπὴ κατὰ συνθήκας, *Δημοσθ. Φορμ. 18*), ἐδίκαζον συμφώνως πρὸς αὐτούς. Ἡ ἀπόφασίς των ἦτο ἀνέκκλητος (*Δημοσθ. Μειδ. 87*), ἐφ' ὅσον δὲν ὑπῆρχον ἐπιφυλάξεις περὶ τούτου (*Δημοσθ. Ἀπατούρ. 15*), καὶ ἐθεωρεῖτο ἰσοδύναμος πρὸς τὴν δικαστικὴν (*Δημοσθ. Καλλιπ. 16*).

367. Ὁ διαιτητὴς οὐ κατεδιῄτα, ἀλλ' ἀπιὼν ᾤχετο ἀποδιαιτήσας τούτου τὴν δίαιταν, ἑσπέρας ἤδη οὔσης (*Δημοσθ. Τιμόθ. 19 σελ. 1190*).

368. Ἴδε ἀνωτέρω θέμα 81.

369. *Δημοσθ. Ἀπατούρ. 1.* σελ. 892— Τοῖς μὲν ἐμπόροις, ὦ ἄνδρες δικασταί, καὶ τοῖς ναυκλήροις κελεύει ὁ νόμος εἶναι τὰς δίκας πρὸς τοὺς θεσμοθέτας, ἐάν τι ἀδικῶνται ἐν τῷ ἐμπορίῳ ἢ ἐνθένδε ποι πλέοντες ἢ ἑτέρωθεν δεῦρο, καὶ τοῖς ἀδικοῦσι δεσμὸν ἔταξε τοὐπιτίμιον, ἕως ἂν ἐκτίσωσιν ὅτι ἂν αὐτῶν καταγνωσθῇ, ἵνα μηδεὶς ἀδικῇ μηδένα τῶν ἐμπόρων εἰκῇ. τοῖς δὲ περὶ τῶν μὴ γενομένων συμβολαίων εἰς κρίσιν καθισταμένοις, ἐπὶ τὴν παραγραφὴν καταφεύγειν ἔδωκεν ὁ νόμος, ἵνα μηδεὶς συκοφαντῆται, ἀλλ' αὐτοῖς τοῖς τῇ ἀληθείᾳ ἀδικουμένοις τῶν ἐμπόρων καὶ τῶν ναυκλήρων αἱ δίκαι ὦσιν (*Δημοσθ. Ἀπατούρ. 1 σελ. 892*). — Ναυτοδίκαι Ἄρχοντες τοῖς ναυκλήροις δικάζοντες καὶ τοῖς περὶ τὸ ἐμπόριον ἐργαζομένοις (*Σουΐδας*). — Αἱ ἐμπορικαὶ δίκαι ἦσαν ἔμμηνοι (*Ἀριστοτ. Πολ. Ἀθην. LII. καὶ LIX. 5*).

370. α) *Δημοσθ. Ἀπατούρ. 23.* — β) *Πλυδεύκ. Η. 101.* — γ) *Δημοσθ. Πανταίν. 36.* — δ) *Πολυδ. Η. 101.* — ε) Αἱ δὲ λήξεις τῶν δικῶν τοῖς ἐμπόροις ἔμμηνοί εἰσιν ἀπὸ τοῦ βοη-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



γωγῆς των. Τοιαῦται ἦσαν, αἱ ἐμπορικαί (α), αἱ περὶ προικός (β), αἱ μεταλλικαὶ (γ), καὶ αἱ ἐρανιστικαί (δ). Αἱ ἐμπορικαὶ ἐδικάζοντο κατὰ τοὺς χειμερινοὺς μῆνας (ε).

371. *Δικαιοστάσιον*. Ἐν μὲν οὖν τῷ πολέμῳ οὐκ εἰσὶ δίκαι.

372. Ἐν πομπῇ Διονύσου ἐν Πειραιεῖ, καὶ Θαργηλίων, μὴ ἐξεῖναι μήτε ἐνεχυράσαι, μήτε λαμβάνειν ἕτερον ἑτέρου, μηδὲ τῶν ὑπερημέρων ἐν ταύταις ταῖς ἡμέραις. Ἐὰν δέ τις τούτων τι παραβαίνῃ, ὑπόδικος ἔστω τῷ παθόντι, καὶ προβολαὶ αὐτοῦ ἔστωσαν ἐν τῇ ἐκκλησίᾳ τῇ ἐν Διονύσου ὡς ἀδικοῦντος, καθὰ περὶ τῶν ἄλλων τῶν ἀδικούντων γέγραπται (α). Μηδενὸς τοῖς μυστηρίοις ἐπιλαμβάνεσθαι (β). Ἐν τοῖς Θεσμοφορίοις λύεσθαι τοὺς δεσμώτας (γ).

373. *Ἐκτέλεσις*. Ὁ καταδικαζόμενος εἰς χρηματικὴν ποινὴν ἐλάμβανε προθεσμίαν πρὸς καταβολήν. Ἂν ὁ καταδικασθεὶς δὲν ἐπλήρωνεν ἐμπροθέσμως, καθίστατο ὑπερήμερος (α), ὁ δὲ δικαιούμενος λαμβάνειν ἐδικαιοῦτο, τῇ συμβολῇ δημοσίων ἀρχῶν (β), νὰ προβῇ εἰς κατάσχεσιν τῆς κινητῆς περιουσίας τοῦ ὀφειλέτου του *(ἐνέχυρα λαβεῖν)* (γ), ἢ ἐὰν δὲν ἦτο ἐπαρκὴς αὕτη, νὰ τὸν ἱκανοποιήσῃ ἠδύνατο νὰ καταλάβῃ τὴν ἀκίνητον περιουσίαν αὐτοῦ, ἥτις πρᾶξις ἐκαλεῖτο *ἐμβατεία* (δ) καὶ ἐὰν εὕρισκεν ἀντίστασιν εἰς τοῦτο, νὰ ἀσκήσῃ τὴν *δίκην ἐξούλης* (ε), ἥτις ἐπέφερεν ὡς ἀποτέλεσμα καὶ τὴν ἐπιβολὴν προστίμου ὑπὲρ τοῦ δημοσίου ὑπὸ τοῦ καταδικασθέντος (στ). Ἐὰν ἐπεδικάσθη εἴς τινα ἀμφισβητούμενον ἀκίνητον, ἠσκεῖτο μετὰ τὴν ἐμβατείαν *ἡ δίκη καρποῦ καὶ ἡ δίκη οὐσίας*. *Συντηρητικὴ προσωποκράτησις*. Ἐπεβάλλετο κατὰ τοῦ ἐναγομένου ξένου.

---

δρομιῶνος μέχρι τοῦ μουνυχιῶνος, ἵνα παραχρῆμα τῶν δικαίων τυχόντες ἀνάγωνται (*Δημοσθ. Ἀπατούρ. 23, σελ. 900*).

371. Ἐν μὲν οὖν τῷ πολέμῳ, διότι οὐκ ἦσαν δίκαι, οὐ δυνατοὶ ἦμεν παρ' αὐτῶν ἃ ὤφειλον πράξασθαι (*Λυσίου — Δημοσθ. ἀδικημ. 3, καὶ Δημοσθ. Στεφάνου Α/4, σελ. 1102*).

372. *Δημοσθ. Μειδ. 10, σελ. 518.*—α) Τὰ Λήναια ἑωρτάζοντο πρὸς τιμὴν τοῦ Διονύσου κατὰ τὸν μῆνα Ληναιῶνα, τὰ δὲ ἐν ἄστει κατὰ τὸν μῆνα Ἐλαφηβολιῶνος. (*Θουκυδ. Β'., Ἡσύχιος*). Θαργηλιὼν ὁ ἑνδέκατος μήν, μεταξὺ Μαΐου καὶ Ἰουνίου. — β) Ἴδε θέμα 235. — γ) Κατὰ πέντε ἔτη ἤγετο τὰ Παναθήναια, τότε δ' ἐξῆν ἀφεῖσθαι τοῦ δεσμοῦ τοὺς δεσμώτας διὰ τὴν πανήγυριν (*Οὐλπ. εἰς Δημοσθ. Μειδίου*). Τοὺς δεσμώτας τοῖς Θεσμοφορίοις λύεσθαι· ὑποπτεύσας τις ἐπὶ τῇ ἑαυτοῦ γυναικί, τὸν οἰκέτην ἔδησε, καὶ δήσας, ἀπεδήμησεν. ἐπιστάντων τῶν Θεσμοφορίων ἔλυσε τὸν οἰκέτην ἡ γυνή. Ἐξάγειν δεσμωτηρίου δίδωσιν, οὓς μετέχειν ἱερῶν, καὶ σπονδῶν, εὐαγές, οὐ τοὺς ἀκαθάρτους καὶ ἐναγεῖς, καὶ τῶν περιρραντηρίων ἀπελαυνομένους.

373. α) *Δημοσθ. Μειδ. 11.* — β) *Δημοσθ. Εὐεργ. Μνησιβ. 35.* — γ) *Δημοσθ. Εὐεργ. Μνησιβ. 53 - 5.* — δ) *Δημοσθ. Ὀνήτορ. 2.* — ε) *Δημοσθ. Ὀνήτορ. ὑπόθεσις, καὶ Μειδ. 44.* — Ἴδε καὶ θέμ. 169 καὶ 322. — στ) *Ἁρποκρατ. καὶ Σουΐδα λέξ. ἐξούλης.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



374. *Δικαστήρια.* Ἐξαιρέσει τῶν ἀνωτέρω ἐν θέματι 319 ὁριζομένων, ἐλειτούργουν τὰ ἀκόλουθα· ἡ Ἡλιαία (α), ὁ Ἄρχων Βασιλεύς (β), ὁ Ἐπώνυμος Ἄρχων (γ), ὁ Πολέμαρχος (δ), οἱ Θεσμοθέται (ε), οἱ Ἕνδεκα (στ), οἱ Ναυτοδίκαι (ζ), οἱ δημόσιοι διαιτηταί (η), οἱ Τεσσαράκοντα (θ), οἱ Εἰσαγωγεῖς (ι), καὶ τὸ Ὠδεῖον (ια).

---

374. α) Τὸ μέγιστον δικαστήριον τῶν ἐν Ἀθήναις (*Ἁρποκρατ.*), τὸ ὁποῖον ἀπετελεῖτο ἐξ ἑξακισχιλίων δικαστῶν, ἐτησίως κληρουμένων ἐκ τῶν δέκα φυλῶν, καὶ ὀμνυόντων (*Πολυδ. Η. 121, 123*), ἐκ τούτων ἐκληροῦντο 500 καὶ ὁ εἰσαγωγεὺς δι' ἕκαστον δικαστήριον, ἢ 201, ἢ 401 ἢ πλειόνων, ὡς ἐπὶ εἰσαγγελίας (*Πολυδ. Η. 123*). — Ἕκαστος τούτων ἐλάμβανε πινάκιον, ἐν ᾧ ἐδηλοῦτο τὸ δικάσον δικαστήριον καὶ αἱ δικάσιμοι ἡμέραι (*Πολυδ. Η. 57*), ὧν ἐξῃροῦντο αἱ ἑορταὶ (*Ξενοφ. Ἀθην. Πολ. 8*) καὶ αἱ ἀποφράδες ἡμέραι (*Πλάτων. Νομ. σελ. 519*). Ἐκληροῦντο ἐκ τῶν δέκα φυλῶν κατὰ νέαν κλήρωσιν, γενομένην καθ' ἑκάστην δικάσιμον (*Δημοσθ. Ἀριστογ. 27*), καὶ ἐλάμβανον λόγῳ ἀποζημιώσεως τριώβολον δι' ἑκάστην δίκην (*Ἀριστοτ. Πολιτ. Β. 9, 3*). — β) Γραφαὶ δὲ λαγχάνονται πρὸς αὐτὸν ἀσεβείας, κἄν τις ἱερωσύνης ἀμφισβητῇ πρός τινα. διαδικάζει δὲ καὶ τοῖς γένεσι καὶ τοῖς ἱερεῦσι τὰς ἀμφισβητήσεις τὰς ὑπὲρ τῶν ἱερῶν ἁπάσας οὗτος (*Ἀριστοτ. Ἀθην. Πολ. LVII*). — γ) Δίκαι δὲ πρὸς αὐτὸν λαγχάνονται κακώσεως, παρανοίας, εἰς διαιτητῶν αἵρεσιν, ἐπιτροπῆς ὀρφανῶν, ἐπιτρόπων καταστάσεις, κλήρων καὶ ἐπικλήρων ἐπιδικασίαι, ἐπιμελεῖται δὲ καὶ τῶν γυναικῶν αἳ ἂν φῶσιν ἀπ' ἀνδρὸς τελευτῇ κύειν, καὶ τοὺς οἴκους ἐκμισθοῖ τῶν ὀρφανῶν (*Πολυδ. Η. 89, Δημοσθ. Μακάρτ. 75 καὶ Λάκριτ. 48,* Ἴδε ἀνωτέρω θέμα 127). — δ) Δίκαι δὲ πρὸς αὐτὸν λαγχάνονται μετοίκων ἰσοτελῶν προξένων· καὶ διανέμει τὸ λαχόν, ἑκάστῃ φυλῇ μέρος, τὸ μὲν διαιτηταῖς παραδιδούς, εἰσάγων δὲ δίκας ἀποστασίου, ἀπροστασίου, κλήρων μετοίκων (*Πολυδ. Η. 91, Δημοσθ. Λάκριτ. 48, Ζηνόθ. 29, Νεαιρ. 40*), ἤτοι, ὅσα τοῖς πολίταις ὁ Ἄρχων, τοῖς μετοίκοις ὁ Πολέμαρχος (*Ἁρποκρατ.*). — ε) Προγράφουσι πότε δεῖ δικάζειν τὰ δικαστήρια, καὶ τὰς εἰσαγγελίας εἰσαγγέλλουσιν εἰς τὸν δῆμον καὶ τὰς χειροτονίας, καὶ τὰς προβολὰς εἰσάγουσι καὶ τὰς τῶν παρανόμων γραφάς, καὶ εἴ τις μὴ ἐπιτήδειον νόμον γράψειεν, καὶ στρατηγοῖς εὐθύνας. γίνονται δὲ πρὸς αὐτοὺς γραφαὶ ξενίας, δωροξενίας, δώρων, συκοφαντίας, ψευδοκλητείας, ψευδεγγραφῆς, βουλεύσεως, ἀγραφίου, μοιχείας. εἰσάγουσι δὲ καὶ δοκιμασίας ταῖς ἀρχαῖς, καὶ τοὺς ἀπεψηφισμένους, καὶ τὰς ἐκ τῆς βουλῆς καταγνώσεις, καὶ δίκας ἐμπορικὰς καὶ μεταλλικάς, καὶ ἐὰν δοῦλος κακῶς ἀγορεύῃ τὸν ἐλεύθερον, καὶ ταῖς ἀρχαῖς ἐπικληροῦσι τὰ δικαστήρια τά τε ἴδια καὶ τὰ δημόσια, καὶ τὰ σύμβολα τὰ πρὸς τὰς πόλεις κυροῦσι, καὶ δίκας ἀπὸ συμβόλων εἰσάγουσι, καὶ τὰς τῶν ψευδομαρτυριῶν τῶν ἐξ Ἀρείου πάγου (*Πολυδ. Η. 87 ἑπ., Ἀριστοτ. Ἀθην. Πολ. LIX*). — στ) Ἐπεμελοῦντο δὲ τῶν ἐν τῷ δεσμωτηρίῳ, καὶ ἀπῆγον κλέπτας ἀνδραποδιστὰς λωποδύτας, εἰ μὲν ὁμολογοῖεν, θανατώσοντες, εἰ δὲ μή, εἰσάξοντες εἰς τὰ δικαστήρια (*Πολυδ. Η. 102, Ἀριστοτ. Ἀθην. Πολ. LII, Δημοσθ. Τιμοκρ. 113, Λυσίου — Θεομν. Α. 10, Ἀντιφῶντος — Ἡρώδ. 9, 17*). — ζ) Οἱ τὰς τῆς ξενίας δίκας εἰσάγοντες (*Πολυδ. Η. 126*). — η) Ἐκ τῶν ὑπὲρ ἑξήκοντα ἔτη γεγονότων ἐκληροῦντο, καὶ ἐπεκληροῦντο αὐτοῖς αἱ δίαιται (*Πολυδ. Η. 126, Ἀριστοτ. Ἀθην. Πολ. LV, LIII,* ἴδε ἀνωτέρω θέμα 366). — θ) Πρότερον μὲν ἦσαν τριάκοντα, οἳ περιιόντες κατὰ δήμους τὰ μέχρι δραχμῶν δέκα ἐδίκαζον, τὰ δὲ ὑπὲρ ταῦτα διαιτηταῖς παρεδίδοσαν· μετὰ δὲ τὴν τῶν τριάκοντα ὀλιγαρχίαν, μίσει τοῦ ἀριθμοῦ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

375. *Ἔνδικα μέσα.* Πλὴν τῶν ποινικῶν (θέμα 321) ὑπῆρχον· 1) Ἡ δίκη (α), 2) αἱ γραφαί (β), 3) ἡ ἀντίδοσις (γ). *Διάκρισις γραφῶν καὶ δικῶν.* Ἐκαλοῦντο γὰρ αἱ γραφαὶ καὶ δίκαι, οὐ μέντοι καὶ αἱ δέκα γραφαί (δ), καὶ τοῦτο διότι ἔστιν ὅτε, ἀντὶ τῆς γραφῆς ἠσκεῖτο δίκη (ε). Αἱ ἀφορῶσαι ἀμφισβήτησιν δίκαι ἀπηυθύνοντο *πρός τινα*, αἱ δὲ ἀφορῶσαι παράβασιν νόμου καὶ ἀξιόποινοι, ἀπηυθύνοντο *κατά τινος* (στ).

---

τοῦ τριάκοντα τεσσαράκοντα ἐγένοντο (*Πολυδ. 100, Ἀριστοτ. Ἀθην. Πολ. LVI, LIII, LII*), τέτταρας ἐκ τῆς φυλῆς ἑκάστης (*Ἀριστοτ. Ἀθην. Πολ. LIII*). — Οὗτοι ἐδίκαζον (ὡς εἰρηνοδίκαι) τὰς δίκας αἰκίας καὶ βιαίων (*Δημοσθ. Πανταίν. 33, κ.λπ.*). — ι) Οἱ τὰς ἐμμήνους δίκας εἰσάγοντες· ἦσαν δὲ προικός, ἐρανικαί, ἐμπορικαὶ (*Πολυδ. Η. 101*), δυοῖν φυλαῖν ἕκαστος. εἰσὶ δ' ἔμμηνοι προικός, ἐάν τις ὀφείλων μὴ ἀποδῷ, κἄν τις ἐπὶ δραχμῇ δανεισάμενος ἀποστερῇ, κἄν τις ἐν ἀγορᾷ βουλόμενος ἐργάζεσθαι δανείσηται παρά τινος ἀφορμήν· ἔτι δ' αἰκείας καὶ ἐρανικαὶ καὶ κοινωνικαὶ καὶ ἀνδραπόδων καὶ ὑποζυγίων καὶ τριηραρχικαὶ καὶ τραπεζιτικαί. οὗτοι μὲν οὖν ταύτας δικάζουσιν ἐμμήνους εἰσάγοντες, οἱ δ' ἀποδέκται τοῖς τελώναις καὶ κατὰ τῶν τελωνῶν, τὰ μὲν μέχρι δέκα δραχμῶν ὄντες κύριοι, τὰ δ' ἄλλ' εἰς τὸ δικαστήριον εἰσάγοντες ἔμμηνα (*Ἀριστοτ. Ἀθ. Πολ. LII*). — ια) Τὰς δὲ ἐπὶ τῷ σίτῳ δίκας ἐν Ὠδείῳ ἐδίκαζον· σῖτος δ' ἐστὶν αἱ ὀφειλόμεναι τροφαί (*Πολυδ. Η. 33, Σουΐδα, λ. Ὠδεῖον*).

375. α) Καὶ ἰδιωτικὰ μὲν δικῶν ὀνόματα *αἰκίας* (*Δημοσθ. Εὐεργ. 7, 40, Κόνων. 12, Ἀνδροτ. 25, Ἰσοκρ. Λοχίτ. 19, Ἁρποκρατ. λέξ. αἰκία*), *κακηγορίας* ἢ *κακολογίας* (ἴδε θέμ. 274, *Δημοσθ. Μειδ. 92, Λεπτίν. 104, Βοιωτ. προικ. 47, Λυσίου — Θεομν., Πλουτ. Σόλων 21, Ἰσοκρ. Λοχίτ. 3*), *βλάβης* (*Δημοσθ. Μειδ. 43, Φορμίων. 20, πρὸς Ἄφοβον, ψευδομ. 20*), *παρακαταθήκης* (*Δημοσθ. Φορμίων. παραγραφ. 5, Ἀφόβου Β. 15, Πολυδ. ΣΤ. 154, Ἰσοκρ. πρὸς Εὐθυν. 3*), *ἀποπομπῆς* ἢ *ἀποπέμψεως* (*Δημοσθ. Νεαίρ. 51, 59, Ὀνήτορ. Α. 8, Πλουτ. Ἀλκιβ. 8, Λυσίου — Ἀλκιβ. 28*), *κακώσεως* (ἴδε ἀνωτέρω θέμα 274α), *κλοπῆς* (ἴδε θέμα 278, *Δημοσθ. Τιμοκρ. 105, 113, Ἀριστοφ. Νεφέλ. 407, Πλάτων. Νομ. ΙΒ. 954, Δημοσθ. Ἀνδροτ. 26*), *χρέως* (*Δημοσθ. Τιμόθεον*), *συμβολαίων* (*Θουκυδ. ε. 23, 37, Ἀριστοφ. Ἀχαρν. 661, Πολυδ. ΣΤ. 153, Ἀριστοτ. Ἠθικ. Νικομ. ε. 4, Δημοσθ. Φορμίων. 20, 14, Διονυσοδ. ὑποθ.*), *συνθηκῶν παραβάσεως* (ἴδε ἀνωτέρω συμβολαίων, καὶ *Ἰσοκράτ. Τραπεζιτικόν*), *μισθώσεως οἴκου* (*Διογ. Λαερτ. Πρωταγόρας Θ. 8*), *ἐπιτροπῆς* (*Δημοσθ. Ἀφόβ. Α. 19, 60, Ὀνήτορ. Α. 6*), *ἀχαριστίας* (*Πολυδ. Ε. 141*), *σίτου* (*Δημοσθ. Νεαίρ. 52, Ἀφόβ. Α. 15, Ἀφόβ. Β. 11, πρὸς Ἄφοβ. 33, πρὸς Βοιωτ. 9, Ἁρποκρατ. λεξ. σῖτος*), *καρποῦ* (*Ἁρποκρατ. λεξ. καρποῦ δίκη καὶ οὐσίας δίκη*), *ἐνοικίου*, *ἀδικίου*, *φορᾶς* ἢ *φωρᾶς ἀφανοῦς* (φορὰ ἐκαλεῖτο ἡ μηνιαία καταβολὴ τῶν ἐρανιστῶν, πιθανῶς ἰσοδύναμος τῇ παραστατικῇ ἀγωγῇ, φωρᾶς ἤτοι κλοπῆς νυκτερινῆς), *μεθημερινῆς* (πιθανῶς ἀγωγὴ τοῦ κυρίου κατὰ τοῦ οἰκέτου, ἀρνουμένου νὰ καταβάλῃ τὸ εἰσπραχθὲν ἐνοίκιον, ἢ φωρᾶς, κλοπῆς ἡμερησίας), *λιπομαρτυρίου* (ἤτοι βλάβης ἐκ τῆς μὴ ἐμφανίσεως τοῦ μάρτυρος), *ἐρανιστικῶν ἀμφισβητήσεως* (ὅστις ἀμφισβητοῖ κλήρου κατὰ γένος ὡς οὐκ ὄντος υἱοῦ τῷ τεθνεῶτι, *Πολυδ. Η. 32*), *παρακαταβολῆς* (ὅταν ἀντιλέγοι τις ὡς αὐτὸς δικαιότερος ὢν ἔχειν τὸν κλῆρον ἐξ ἀγχιστείας ἢ διαθηκῶν· παρακατέβαλλε δὲ τῆς οὐσίας τὸ δέκατον, ὡς προσεισοίσων ἐὰν ἡττηθῇ, *Πολυδ. Η. 32*), *διαμαρτυρίας* (ὅστις διαμαρτυροῖτο μὴ ἐπίδικον εἶναι τὸν κλῆρον

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



376. *Δικαστηριακαὶ ἐνέργειαι.* Προωμοσία (α), ἀντωμοσία (β), διωμοσία (γ), ἐξωμοσία (δ), ἀπωμοσία (ε), ὑπωμοσία (στ), παραγραφή (ζ), ἀντιγραφή (η), ἀντιλαχεῖν (θ), ἐξούλης δίκη (ι), μὴ οὖσα δίκη (ια), ἐπίσκηψις. ἐνεπισκήψασθαι (ιβ), πρόσκλησις (ιγ), ἔφεσις (ιδ), δίκαι ἀπὸ συμβόλων (ιε), ἐμπορικαί (στ) καὶ αἱ ἐν θέματι 321 ἀναφερόμεναι.

---

ὡς ὄντος υἱοῦ, *Πολυδ. Η. 32*), *ἐπίσκηψις* (εἴ τις τὴν διαμαρτυρίαν ὡς ψευδῆ αἰτῷντο, *Πολυδ. Η. 32*), *ἀντιγραφῆς* (ἐπὶ τῶν κατὰ γένος ἀμφισβητούντων, *Πολυδ. Η. 33*), *εἰς ἐμφανῶν κατάστασιν* (ἡ παραστατικὴ ἀγωγή) (Ὁπότε τις ἐγγυήσαιτο ἢ αὐτόν τινα ἢ τὰ χρήματα, *Πολυδ. Η. 33, Ἰσαίου — Φιλοκτ. 31*), *βεβαιώσεως δίκη* (ὁπότ' ἄν τις πριάμενος οἰκίαν ἢ χωρίον ἀμφισβητοῦντός τινος ἀνάγῃ ἐπὶ τὸν πρατῆρα· τὸν δὲ προσήκει βεβαιοῦν, ἢ μὴ βεβαιοῦντα ὑπεύθυνον εἶναι τῆς βεβαιώσεως. εἰ δ' ὁ ἀνάγων ἐπὶ τὸν πρατῆρα ἡττηθείη, τὸ μὲν ἀμφισβητηθὲν τοῦ κρατήσαντος ἐγίνετο, ὁ δ' ἡττηθεὶς τὴν τιμὴν παρὰ τοῦ συκοφαντήσαντος ἐκομίζετο, *Πολυδ. Η. 34*), *ἀποστασίου δίκη* (κατὰ τῶν ἀφισταμένων ἀπελευθέρων, *Πολυδ. Η. 35*), *ἀπροστασίου* (κατὰ τῶν οὐ νεμόντων προστάτην μετοίκων. ἀλλ' αὕτη μὲν δημοσία, ὥσπερ καὶ ἡ τῆς ἐπιτροπῆς· ἐξῆν γὰρ τῷ βουλομένῳ γράφεσθαι τὸν ἐπίτροπον ὑπὲρ τῶν ἀδικουμένων ὀρφανῶν, *Πολυδ. Η. 35*), *κακοτεχνίου δίκη* (ὅταν μάρτυς καλεῖται μαρτυρεῖν, ἢ ἐξομόσασθαι ὡς οὐκ εἰδείη ἢ μὴ παρείη, *Πολυδ. Η. 37*). Ἴδε καὶ *Τζιβανοπούλου Λεξικὸν σελ. 1045*. — β) Ἴδε ἀνωτέρω θέμα 321. — γ) Πᾶς εὔπορος πολίτης καλούμενος εἰς λειτουργίαν τινά, λχ. χορηγίας ἢ τριηραρχίας κ.λπ. ἐπὶ σκοπῷ νὰ καταβάλῃ ὡρισμένον ποσόν, ἠδύνατο νὰ ὑποδείξῃ ἕτερον πολίτην, πλέον εὔπορον αὐτοῦ, ὅστις ἀντὶ τούτου ἀναλάβῃ τὴν ὁρισθεῖσαν ποσότητα. Πρὸς τοῦτο, ἐὰν ὑπῆρχεν ἀμφισβήτησις παρὰ τοῦ καθ' οὗ ἡ ἐνέργεια αὕτη, *ἀντίδοσις* καλουμένη, τὰ δικαστήρια ἠρεύνουν τὰς ἑκατέρωθεν προτάσεις, ἐξετίμων τὰς περιουσίας ἀμφοτέρων τούτων, ἐν τῷ μεταξὺ οὐδέτερος τούτων ἠδύνατο νὰ διαθέσῃ τὴν περιουσίαν του, τελοῦσαν ὑπὸ μεσεγγύησιν (*Δημοσθ. Μειδ. 79*). Εἶτα ὡρκίζοντο ἀμφότεροι περὶ τοῦ μεγέθους τῆς περιουσίας των, τὸ δὲ δικαστήριον, βάσει τῶν προσαγομένων ἀποδείξεων, ἐξέδιδε τὴν ἀπόφασίν του. Κατὰ ταύτην, ἐὰν ἡ δίκη ἀπέβαινε κατὰ τοῦ ἐναχθέντος, οὗτος ἢ ἀνελάμβανε τὴν χορηγίαν, ἢ πληρώνων, ἀντήλλασσε τὴν περιουσίαν του μὲ τὴν τοῦ ἀντιδίκου του, τοῦτο δὲ ἐκαλεῖτο *ἀντίδοσις*. (*Δημοσθ. Φαίν. 4 καὶ 8. Ἰσοκράτ. Ἀντίδοσις 101 ἐπ., Λυσίου — Ὑπὲρ ἀδυνάτ. σ. 475*). — δ) (*Πολυδ. Η. 41*). — ε) *Δημοσθ. Ἀνδροτ., Λυσίου — Ἐρατοσθ. 2 καὶ 16 κ.λπ.* — στ) *Ἰσαίου — Ἀγν. 288, Δημοσθ. πρὸς Λεπτίνην* 452.

376. α) *Προωμοσία.* Ὁ ὅρκος ὃν ἔδιδον κατὰ τὴν εἰσαγωγὴν τῆς δίκης ὁ ἐνάγων εἰς τὸν Ἄρχοντα, ὅτι ἀληθῆ λέγει (*Πολυδ. Η. 55*). — β) *Ἀντωμοσία.* Ὅρκος ὃν ὁ κατηγορούμενος ἀντομνύει, ἦ μὴν μὴ ἀδικεῖν (*Πολυδ. 55, Διογ. Λαερτ. 11. 40, Πλάτων. Ἀπολ. Σωκρ. 3*). — γ) *Διωμοσία.* Ὁ παρ' ἑκατέρου ὅρκος (*Πολυδ. Η. 55*). — δ) *Ἐξωμοσία.* Ὅταν τις ἢ πρεσβευτὴς αἱρεθεὶς ἢ ἐπ' ἄλλην τινὰ δημοσίαν ὑπηρεσίαν, ἀρρωστεῖν ἢ ἀδυνατεῖν φάσκων ἐξομνύηται αὐτὸς ἢ δι' ἑτέρου. ἐξώμνυντο, δὲ καὶ οἱ κληθέντες μάρτυρες, εἰ φάσκοιεν μηδὲν ἐπίστασθαι τούτων ἐφ' ἃ ἐκαλοῦντο (*Πολυδ. Η. 55*). — ε) *Ἀπωμοσία.* Ἐγίνετο παρὰ τῶν ἀντιλεγόντων πρὸς τοὺς ἐξομνυμένους ἐπὶ προφάσει ἀρρωστίας ἢ ἀπουσίας. συνισταμένης δὲ περὶ τούτου δίκης, τὸ παρὰ τοῦ κρίνοντος ἔργον ἀπωμοσία ἐκαλεῖτο (*Πολυδ. Η. 56*). — στ) *Ὑπωμοσία.* Ὅταν τις ἢ ψήφισμα ἢ νόμον γραφέντα γράψηται ὡς ἀνεπιτήδειον· τοῦτο γὰρ ὑπομόσασθαι λέγουσιν, καὶ οὐκ ἦν μετὰ τὴν ὑπωμοσίαν τὸ γραφέν, πρὶν κριθῆναι κύριον (*Πολυδ. Η. 56*). — ζ)

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



## Δ.' Δημόσιον δίκαιον

377. *Πολίτης.* Πολίτης ἐστὶν ὁ μετέχων κρίσεως καὶ ἀρχῆς.

---

*Παραγραφή.* Ἦν ἡ αὐτὴ καὶ διαμαρτυρία, ὅταν τις μὴ εἰσαγώγιμον λέγῃ εἶναι τὴν δίκην ἢ ὡς κεκριμένος ἢ διαίτης γεγενημένης ἢ ὡς ἀφειμένος, ἢ ὡς τῶν χρόνων ἐξηκόντων ἐν οἷς ἔδει κρίνεσθαι.... οἷον οὐκ εἰσαγγελίας ἀλλὰ παρανόμων, οὐ δημοσίᾳ ἀλλ' ἰδίᾳ, ἢ ὡς οὐ παρὰ τούτοις κρίνεσθαι δέον, οἷον οὐκ ἐν Ἀρείῳ πάγῳ ἀλλ' ἐπὶ Παλλαδίῳ. ἄγραπτος δὲ δίκη ἐκαλεῖτο ἡ ὑπὸ τῆς παραγραφῆς ἀναιρεθεῖσα καὶ διαγραφεῖσα *Πολυδ. Η. 57.* — η) *Ἀντιγραφὴ* δέ, ὅταν τις κρινόμενος ἀντικατηγορῇ. καὶ ἡ παραγραφὴ δὲ ἀντιγραφῇ ἔοικεν· διὸ καὶ προεισέρχεται. ὁ δ' ἀντιγραψάμενος μὴ κρατήσας τὴν ἐπωβελίαν προσωφλίσκανεν. τίθενται δὲ τὸ τῆς ἀντιγραφῆς ὄνομα καὶ κατὰ τῶν ἀπαντώντων πρὸς τὰς γραφάς, καὶ ἔστι πρὸς τὴν γραφὴν τὸ τοῦ φεύγοντος γράμμα ἀντιγραφή, οἷον τὰ ψευδῆ μου κατεμαρτύρησε Στέφανος, γράψας τὰ ἐν τῷ γραμματείῳ (*Πολυδ. Η. 58*). — θ) *Ἀντιλαχεῖν.* Δίκην ἐξῆν, ὁπότε τις μὴ παρὼν ἐν δικαστηρίῳ κατακηρυχθεὶς καὶ μὴ ὑπακούων ἐρήμην ὄφλοι. ἀντιλαχεῖν δὲ δύο ἐντὸς μηνῶν ὑπῆρχεν. εἰ δὲ μὴ τοῦτο σχοίη, τὸ ἐγγεγραμμένον ὦφλε καὶ ἄτιμος ἦν (*Πολυδ. Η. 61*). — ι) *Ἐξούλης δίκη.* Ὅταν τις τὸν ἐκ δημοσίου πριάμενον μὴ ἐᾷ καρποῦσθαι ἃ ἐπρίατο, ἢ τὸν νικήσαντα ἃ ἐνίκησεν, ἀλλ' ἢ ἔχοντα ἐκβάλλῃ ἢ σχεῖν κωλύσῃ, ἢ αὐτὸς ὁ ὀφλὼν ἢ ἄλλος ὑπὲρ αὐτοῦ. καὶ μὴν καὶ εἰ ὁ μὲν ἐωνημένος ἀμφισβητεῖ κτήματος, ὁ δὲ ὡς ὑποθήκην ἔχων, ἐξούλης ἡ δίκη (*Πολυδ. Η. 59*). — ια) *Μὴ οὖσα δίκη.* Ὁπόταν τις παρὰ διαιτηταῖς παραγραψάμενος, καὶ ὑπομοσάμενος νόσον ἢ ἀποδημίαν, εἰς τὴν κυρίαν μὴ ἀπαντήσας ἐρήμην ὄφλῃ, ἐξῆν ἐντὸς δέκα ἡμερῶν τὴν μὴ οὖσαν ἀντιλαχεῖν, καὶ ἡ ἐρήμη ἐλύετο, ὡς ἐξ ἀρχῆς ἐλθεῖν ἐπὶ διαιτητήν. εἰ δὲ μὴ ἕλοι τὴν μὴ οὖσαν, ὀμόσας μὲν ἑκὼν ἐκλιπεῖν τὴν δίαιταν, κύρια τὰ διαιτηθέντα ἐγίνετο. ὅθεν ἐγγυητὰς καθίστασαν τοῦ ἐκτίσματος (*Πολυδ. Η. 60*). — ιβ) *Ἐνεπισκήψασθαι.* Ὁπότε τις ἐν τοῖς δημευθεῖσιν ἑαυτῷ τι ὀφείλεσθαι ἢ προσήκειν λέγοι· καὶ τὸ πρᾶγμα ἐνεπίσκημμα ἐκαλεῖτο (*Πολυδ. Η. 61*). — ιγ) *Πρόσκλησις.* Ἐστὶν ἐπὶ τῶν ἀμφισβητούντων κλήρου ἢ ἐπικλήρου· ὁ γὰρ ἀμφισβητῶν προσκαλεῖται τὸν ἐπιδεδικασμένον πρὸς τὸν ἄρχοντα· εἰ δὲ μὴ προσκαλέσαιτο, ἀτελὴς ἡ δίκη. αὗται δὲ ἐλέγοντο ἀπρόσκλητοι δίκαι. *Πρόκλησις.* Ἐστὶ λύσις τῆς δίκης ἐπί τινι ὡρισμένῳ ὅρκῳ ἢ μαρτυρίᾳ, ἢ βασάνῳ ἢ ἄλλῳ τινὶ τοιούτῳ (*Πολυδ. Η. 62*). — ιδ) *Ἔφεσις.* Ὅταν τις ἀπὸ διαιτητῶν ἢ ἀρχόντων ἢ δημοτῶν ἐπὶ δικαστὴν ἐφῇ, ἢ ἀπὸ βουλῆς ἐπὶ δῆμον, ἢ ἀπὸ δήμου ἐπὶ δικαστήριον, ἢ ἀπὸ δικαστῶν ἐπὶ ξενικὸν δικαστήριον· ἐφέσιμος δ' ὠνομάζετο ἡ δίκη. αὗται δὲ καὶ ἔκκλητοι δίκαι ἐκαλοῦντο. τὸ δὲ παρακαταβαλλόμενον ἐπὶ τῶν ἐφέσεων, ὅπερ οἱ νῦν παραβόλιον καλοῦσι, παράβολον Ἀριστοφάνης λέγει (*Πολυδ. Η. 62 ἐπ*). — ιε.) *Δίκαι ἀπὸ συμβόλων.* Ὅτε οἱ σύμμαχοι ἐδικάζοντο (*Πολυδ. Η. 63, 88*), πιθανῶς δίκαι τοιαῦται νὰ ἐγένοντο μεταξὺ Ἀθηναίου καὶ συμμάχου (*Ξενοφ. Πολιτ. Ἀθην. Α. 16*). Τοιαύτη δίκη μεταξὺ δύο συμμάχων ἀναφέρεται εἰς λόγον τοῦ Ἀντιφῶντος περὶ τοῦ Ἡρώδου φόνου. (ἴδε *Δημοσθ. Ἁλοννήσου 78, Θουκυδ. Α. 77, Σουΐδα, Ἁρποκρατ. λέξ. σύμβολα*). Συνήθως παρείχετο τὸ δικαίωμα εἰς σύμμαχον πόλιν, καὶ βάσει συμβόλου (συνθήκης), ὅπως ἡ ἔφεσις κατ' ἀποφάσεως τῶν δικαστηρίων ἐκδικάζεται εἰς ἄλλην πόλιν ὡρισμένην (*Θουκυδ. Α. 34, 78, 140, Ε'. 41, Ζ'. 18*). — ιστ) *Ἐμπορικαί.* Αἱ τῶν ἐμπόρων ἢ περὶ τὸ ἐμπόριον (*Πολυδ. Η. 63*).

377. *Ἀριστοτ. Πολιτ. Γ'. 1, 4.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

378. *Ἰσότης*. Τοῖς πολίταις τὰ ἴσα εἶναι. Κοινὴν εἶναι τὴν Πολιτείαν, καὶ τοὺς Ἄρχοντας ἐξ Ἀθηναίων πάντων αἱρεῖσθαι.

379. *Οὐδεὶς ἀτελής*. Ἀτελῆ δὲ μηδένα εἶναι τριηραρχίας πλὴν τῶν ἐννέα ἀρχόντων (α). Ὅπως ἂν οἱ πλουσιώτατοι λειτουργῶσι, μηδένα ἀτελῆ εἶναι, πλὴν τῶν ἀφ᾽ Ἁρμοδίου καὶ Ἀριστογείτονος καὶ τῶν ἐννέα Ἀρχόντων (β).

380. Τῶν εἰς πόλεμον πασῶν εἰσφορῶν μηδένα εἶναι ἀτελῆ.

381. *Ἐκλογαί*. Τὸν δῆμον, Ἀρχόντων καταστάσεως κύριον εἶναι.

382. Τῶν ἀρχῶν αἱ μὲν κληρωταὶ αἱ δὲ χειροτονηταὶ αἱ ἄλλαι αἱρεταί.

383. Κυάμοις τὰς ἀρχὰς αἱρεῖσθαι.

384. Ἐπὶ τῷ δυοῖν πινακίοιν τὸν ἕνα κληροῦσθαι, θάνατος ζημία.

---

378. Ἔτι δὲ μᾶλλον αὐξῆσαι τὴν πόλιν βουλόμενος, ἐκάλει πάντας ἐπὶ τοῖς ἴσοις· καὶ τό, *δεῦρ᾽ ἴτε πάντες λεώ*, κήρυγμα Θησέως γενέσθαι φασί, πανδημίαν τινὰ καθιστάντος (*Πλουτ. Θησεύς*).

379. α) *Δημοσθ. Λεπτίν. 27. Ἴδε ν. 1. Π. 1. 3 καὶ ν. 3 Κ. 1. 14 καὶ ν. 1, 2 Κ. 10. 42 καὶ ν. 1 ἐπ. Π. 50. 5.* — β) Μηδένα μήτε τῶν πολιτῶν μήτε τῶν ἰσοτελῶν μήτε τῶν ξένων εἶναι ἀτελῆ, μὴ διῃρῆσθαι δὲ ὅτου ἀτελῆ, χορηγίας ἢ τίνος ἄλλου τέλους, ἀλλ᾽ ἁπλῶς ἀτελῆ μηδένα πλὴν τῶν ἀφ᾽ Ἁρμοδίου καὶ Ἀριστογείτονος, καὶ ἐν μὲν τῷ μηδένα πάντας περιλαμβάνειν τοὺς ἄλλους, ἐν δὲ τῷ τῶν ξένων μὴ διορίζειν τῶν οἰκούντων Ἀθήνησιν, ἀφαιρεῖται καὶ Λεύκωνα τὸν ἄρχοντα Βοσπόρου καὶ τοὺς παῖδας αὐτοῦ τὴν δωρειὰν ἣν ὑμεῖς ἔδοτ᾽ αὐτοῖς. (*Δημοσθ. Λεπτίν. 29 σελ. 466*).

380. *Δημοσθ. Λεπτίν.* — Τινὲς τὴν ἐμπορίαν προύφασίζοντο, τὴν εἰσφορὰν βουλόμενοι ἀποφυγεῖν· ἀζήμιοι γὰρ οὗτοι διεφυλάττοντο, ὡς τὴν πόλιν ὠφελοῦντες πλεῖστα, διὰ τῆς αὐτῶν ἐμπορίας· διὸ καὶ ὁ συκοφάντης λέγει, ὅτι ὅταν γένηταί τις καιρὸς πολέμου καὶ εἰσφορᾶς, ἔμπορον ἐμαυτὸν ἀποκαλῶ (*Εἰς Ἀριστοφ. σχόλιον Εὐφρονίου*).

381. Καθ᾽ ἑκάστην ἐκκλησίαν ἀποκληροῦν *φυλὴν* ἐπὶ τὸ βῆμα, ἥτις προεδρεύσει. Καὶ τί προσέταξεν ὁ τιθεὶς τὸν νόμον; καθῆσθαι τοὺς φυλέτας βοηθοῦντας τοῖς νόμοις καὶ τῇ δημοκρατίᾳ (*Αἰσχίν. Τιμάρχ. 33*). — Ἐπειδὰν δ᾽ ἀφέλῃ τις τοὺς ὑπὸ τοῦ δήμου κεχειροτονημένους καὶ τοὺς κληρωτοὺς ἄρχοντας, καταλείπονται οὓς αἱ φυλαὶ καὶ αἱ τριττύες καὶ οἱ δῆμοι ἐξ ἑαυτῶν αἱροῦνται τὰ δημόσια χρήματα διαχειρίζειν, (τούτους αἱρετοὺς ἄρχοντας εἶναι). (*Αἰσχίν. Κτησιφ. 30*). — Κοινὴν εἶναι τὴν πολιτείαν καὶ τοὺς ἄρχοντας ἐξ Ἀθηναίων πάντων αἱρεῖσθαι (Ψήφισμα τοῦ Ἀριστείδου. Ἴδε *Πλουτ. Ἀριστείδ. XXII*).

382. Διάφοροι παρ᾽ Ἀθηναίοις ὑπῆρχον ἀρχαί, ὧν αἱ μὲν κληρωταί, αἱ δὲ χειροτονηταί, αἱ δὲ αἱρεταί. καὶ κληρωταὶ μὲν αἱ κατὰ κλῆρον γινόμεναι, ὡς αἱ τῶν δικαστῶν, χειροτονηταὶ δὲ αἱ κατὰ χειροτονίαν τοῦ δήμου γινόμεναι, ὡς αἱ τῶν στρατηγῶν, αἱρεταὶ δὲ αἱ κατὰ αἵρεσιν, ὡς αἱ τῶν χορηγῶν. τούτων μία ἦν τῶν κληρωτῶν ἡ βουλὴ τῶν πεντακοσίων. (*Δημοσθ. Ἀνδροτ. ὑπόθεσις, σελ. 588*).

383. Διεκλήρουν τὰς ἀρχὰς κυάμῳ, καὶ ὁ τὸν λευκὸν λαβὼν ἐλάγχανεν (*Ἡσύχιος*).

384. Ὁ γράφων τὸ ὄνομά του εἰς δύο ψηφοδέλτια ἐτιμωρεῖτο θανάτῳ. — Τί δέ, ἂν ἄρα (δεῖ

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



385. *Διαίρεσις εἰς τάξεις*. Τρία ἦν τὰ ἔθνη πάλαι, εὐπατρίδαι, γεώμοροι, δημιουργοί (α). Εἶτα Σόλων διεῖλεν εἰς τέσσαρα τμήματα, πεντακοσιομεδίμνων (β), ἱππέων (γ), ζευγιτῶν (δ) καὶ θητῶν (ε).

386. *Εὐπατρίδαι*. Τοὺς εὐπατρίδας γινώσκειν τὰ θεῖα καὶ παρέχειν Ἄρχοντας, καὶ νόμων διδασκάλους εἶναι, καὶ ὁσίων καὶ ἱερῶν ἐξηγητάς.

387. *Εὔποροι*. Τοὺς εὐπόρους τὰς ἀρχὰς ἁπάσας ἄρχειν.

388. *Θῆτες*. Τοὺς θῆτας μὴ ἄρχειν οὐδεμίαν ἀρχήν (α), ἀλλὰ συνεκκλησιάζειν καὶ δικάζειν (β).

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
ΚΕΝΤΡΟΝ ΕΡΕΥΝΗΣ
ΙΣΤΟΡΙΑΣ

## α΄. Ἐκκλησία

389. *Πολιτεύματα — Μεταβολαί*. *Πρώτη* μὲν γὰρ ἐγένετο μετάστασις τῶν ἐξ ἀρχῆς, Ἴωνος καὶ τῶν μετ' αὐτοῦ συνοικησάντων· τότε γὰρ πρῶτον εἰς τὰς τέτταρας συνενεμήθησαν φυλάς, καὶ τοὺς φυλοβασιλέας κατέστησαν. *δευτέρα* δὲ καὶ *πρώτη* μετὰ ταύτην, ἔχουσα πολιτείας τάξιν, ἡ ἐπὶ Θησέως (1314) γενομένη, μικρὸν παρεγκλίνουσα τῆς βασιλικῆς. μετὰ δὲ ταύτην ἡ ἐπὶ Δράκοντος (624), ἐν ᾗ καὶ νόμους ἀνέ-

---

γὰρ ἅπανθ' ἡμᾶς ἐξετάσαι) ἅτερος ἡμῶν πείσας τὸν ἕτερον, ἐὰν λάχῃ, παραδοῦναι αὐτῷ τὴν ἀρχὴν οὕτω κληρῶται; τὸ δυοῖν πινακίοιν τὸν ἕνα κληροῦσθαι τί ἄλλο ἐστίν; εἶτ' ἐφ' ᾧ θάνατον ζημίαν ὁ νόμος λέγει, τοῦθ' ἡμῖν ἀδεῶς ἐξέσται πράττειν; (*Δημοσθ. Βοιωτ. ὀνόμ. 12 σελ. 998*).

385. α) Ἡ διαίρεσις αὕτη ἐγένετο ὑπὸ Θησέως (*Πολυδ. Η. 111*). — Ὅτε μέντοι τέτταρες ἦσαν αἱ *φυλαί*, εἰς τρία μέρη ἑκάστη διῄρητο, καὶ τὸ μέρος τοῦτο ἐκαλεῖτο *τριττὺς* καὶ *ἔθνος* καὶ *φρατρία*. ἑκάστου δὲ ἔθνους γένη τριάκοντα ἐξ ἀνδρῶν τοσούτων, ἃ ἐκαλεῖτο *τριακάδες*. καὶ οἱ μετέχοντες τοῦ γένους *γεννῆται* καὶ *ὁμογάλακτες*, γένει μὲν οὐ προσήκοντες, ἐκ δὲ τῆς συνόδου οὕτω προσαγορευόμενοι (*Πολυδ. αὐτόθι*). — β) Τοὺς μὲν ἐν ξηροῖς ὁμοῦ καὶ ὑγροῖς μέτρα πεντακόσια ποιοῦντας, πρώτους ἔταξε καὶ *Πεντακοσιομεδίμνους* προσηγόρευσε (*Πλουτ. Σόλ. XVIII*), οὗτοι ἀνήλισκον δ' εἰς τὸ δημόσιον τάλαντον (*Πολυδ. Η. 130, Ἀριστοτ. Πολ. Ἀθην. VII, κ.λπ.*). — γ) Δευτέρους δὲ τοὺς ἵππον τρέφειν δυναμένους ἢ μέτρα ποιεῖν τριακόσια. καὶ τούτους *ἱππάδα* τελοῦντας ἐκάλουν (*Πλουτ. Σόλ. XVIII, Ἀριστοτ. Πολ. Ἀθην. VII*), ἀνάλισκον δὲ ἡμιτάλαντον (*Πολυδ. Η. 130*). — δ) *Ζευγῖται* δ' οἱ τοῦ τρίτου τιμήματος ὠνομάσθησαν, οἷς μέτρον ἦν συναμφοτέρων διακοσίων (*Πλουτ. Σολ. XVIII, Ἀριστ. Πολ. Ἀθ. VII*), ἀνάλισκον δὲ μνᾶς δέκα (*Πολυδ. Η. 130*). — ε) Θῆτες, Ἴδε κατωτέρω θέμα 388).

386. Εὐπατρίδαι ἐκαλοῦντο οἱ αὐτὸ τὸ ἄστυ οἰκοῦντες καὶ μετέχοντες βασιλικοῦ γένους, τὴν τῶν ἱερῶν ἐπιμέλειαν ποιούμενοι (*Πλουτ. Σόλων*), ἐκαλοῦντο καὶ φυλοβασιλεῖς, συνεδρεύοντες ἐν τῷ βασιλείῳ τῷ παρὰ τὸ βουκολεῖον (*Πολυδ. Η. 111*).

387. Ὁ Σόλων τὴν ἐν Ἀρείῳ Πάγῳ Βουλὴν κατέστησε τὸ πολίτευμα *ὀλιγαρχικόν*, τὰς δὲ αἱρετὰς ἀρχὰς *ἀριστοκρατικόν*, καὶ τὰ δικαστήρια *δημοκρατικόν*, διὰ τὴν σύμμιξιν ταύτην μέμφονταί τινες αὐτῷ (*Ἀριστοτ. Πολιτ. Β. 9, 2, σελ. 1273β*).

388. α) *Πλουτ. Σόλων XVIII, Ἀριστοτ. Πολ. Ἀθην. VII, Πολυδ. Η. 130*. — β) Ἴδε ἀνωτέρω (α) σημείωσιν.

389. α) *Ἀριστοτ. Ἀθην. Πολιτ. XLI*. — β) Ἴδε ἀνωτέρω τίτλον Α΄. θέμα 11.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



γραψαν πρῶτον. *τρίτη* δ' ἡ μετὰ τὴν στάσιν ἡ ἐπὶ Σόλωνος (594), ἀφ' ἧς ἀρχὴ δημοκρατίας ἐγένετο. *τετάρτη* δ' ἡ ἐπὶ Πεισιστράτου (559) τυραννίς. *πέμπτη* δ' ἡ μετὰ τὴν τῶν τυράννων κατάλυσιν ἡ Κλεισθένους (509), δημοτικωτέρα τῆς Σόλωνος. *ἕκτη* δ' ἡ μετὰ τὰ Μηδικά (480), τῆς ἐξ Ἀρείου πάγου βουλῆς ἐπιστατούσης. *ἑβδόμη* δὲ καὶ μετὰ ταύτην, ἣν Ἀριστείδης (470) μὲν ὑπέδειξεν, Ἐφιάλτης δ' ἐπετέλεσεν καταλύσας τὴν Ἀρεοπαγῖτιν βουλήν· ἐν ᾗ πλεῖστα συνέβη τὴν πόλιν διὰ τοὺς δημαγωγοὺς ἁμαρτάνειν διὰ τὴν τῆς θαλάσσης ἀρχήν. *ὀγδόη* δ' ἡ τῶν τετρακοσίων κατάστασις, καὶ μετὰ ταύτην, *ἐνάτη* δέ, δημοκρατία πάλιν (444). *δεκάτη* δ' ἡ τῶν τριάκοντα (404) καὶ ἡ τῶν δέκα τυραννίς. *ἑνδεκάτη* δ' ἡ μετὰ τὴν ἀπὸ Φυλῆς καὶ ἐκ Πειραιέως κάθοδον (403), ἀφ' ἧς διαγεγένηται μέχρι τῆς νῦν ἀεὶ προσεπιλαμβάνουσα τῷ πλήθει τὴν ἐξουσίαν. ἁπάντων γὰρ αὐτὸς αὑτὸν πεποίηκεν ὁ δῆμος κύριον, καὶ πάντα διοικεῖται ψηφίσμασιν καὶ δικαστηρίοις, ἐν οἷς ὁ δῆμός ἐστιν ὁ κρατῶν. καὶ γὰρ αἱ τῆς βουλῆς κρίσεις εἰς τὸν δῆμον ἐληλύθασιν (α).— Ἔχει δὲ ἡ νῦν κατάστασις τῆς Πολιτείας τόνδε τὸν τρόπον (β).

390. *Ἐκκλησία.* Πάντες οἱ Δῆμοι τῆς Ἀττικῆς, μετεῖχον τῇ Ἐκκλησίᾳ Ἀθηνῶν. Συνήρχοντο εἰς τὴν Πνύκα ἢ ἀλλαχοῦ (α), τετράκις τῆς Πρυτανείας ἑκάστης Βουλῆς, προσκλήσει τῶν Πρυτάνεων (β), ἢ τῶν στρατηγῶν (γ).

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

391. *Πρόσκλησις πολιτῶν.* Διὰ κήρυκος. Ληξίαρχοι δὲ τοὺς μὴ ἐκκλησιάζοντας ἐζημίουν, καὶ τοὺς ἐκκλησιάζοντας ἐξήταζον (α). *Μετέχοντες.* Μετεῖχον τῶν Ἀθηναίων πολιτῶν οἱ τριάκοντα ἐτῶν ἐξ ἀμφοτέρων ἀστῶν γεγονότες (β), οἱ ποιητοὶ καὶ οἱ ἰσοτελεῖς (γ), εἴργοντο δὲ οἱ ἄτιμοι καὶ οἱ ξένοι.

392. *Ἐκκλησιαστικόν.* Μισθοφοροῦσι ὁ δῆμος ταῖς μὲν ἄλλαις ἐκκλησίαις δραχμήν, τῇ δὲ κυρίᾳ ἐννέα ὀβολούς.

---

390. α) Ἐν Πνυκί (*Αἰσχίν. Κτησιφ. 34, 204*), ἐνίοτε δὲ καὶ ἐν τῷ θεάτρῳ (*Δημοσθ. Μειδ. ὑπόθ. Πολυδ. Η. 132, Θουκυδ. Η. 93*), συνήρχοντο πάντες οἱ δῆμοι. — β) Οἱ Πρυτάνεις τὴν βουλὴν συνάγουσιν ὁσημέραι, πλὴν ἄν τις ἄφετος ᾖ, τὸν δὲ δῆμον τετράκις ἑκάστης πρυτανείας (*Πολυδ. Η. 95*). — γ) Ἡ τῶν στρατηγῶν (*Θουκ. Β. 59*).

391. α) Ἡ πρόσκλησις ἐγένετο πρὸ πέντε ἡμερῶν (*Αἰσχίν. Παραπρεσβ. 20*) διὰ προγράμματος (*Δημοσθ. Ἀριστογ. Α. 9*). — Οἱ μὴ ἐκκλησιαζόμενοι ἐτιμωροῦντο (*Πολυδ. Η. 104, Ἀριστοφ. Ἀχαρν. 22*). — β) *Ἀριστοφ. Νεφέλ. σχόλ.* — Ἐν τοσούτῳ μετέχεν ὁ Ἀλκιβιάδης εἰκοσαετὴς ἐπίσης ὁ Γλαύκων (*Ξενοφ. Οἰκον. Γ. 6, 1*), καὶ Δημοσθένης εἰκοσαοκταετὴς (*Πλουτ. Δημοσθ. 6*). — γ) Ἀλλὰ τούτοις ὁ νόμος ἀπαγορεύει διαρρήδην μὴ ἐξεῖναι αὐτοῖς τῶν ἐννέα ἀρχόντων γενέσθαι μηδὲ ἱερωσύνης μηδεμιᾶς μετασχεῖν (*Δημοσθ. Νεαίρ. 92*). — Εἶναι πιθανὸν νὰ ἀπεκλείοντο τῆς ἐκκλησίας καὶ οἱ ὑπερεξηκοντούτεις (*Ἀριστοτ. Πολιτ. Γ. 1*).

392. *Ἀριστοφ. Ἐκκλησ. 248, 315, 404, Βάτραχ. 375,* — Ἀγύρριος ὀβολὸν ἐπόρισεν, μετὰ δὲ τοῦτον Ἡρακλείδης ὁ Κλαζομένιος ὁ βασιλεὺς ἐπικαλούμενος διώβολον, πάλιν δ' Ἀγύρριος τριώβολον (*Ἀριστ. Ἀθην. Πολ. XLI*). — Τοιοῦτο δὲν ἐλάμβανον οἱ εὔποροι, οἵτινες ὠνομάζοντο *οἰκόσιτοι ἐκκλησιασταί.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



393. *Σύγκλητοι ἔκτακτοι.* Χρηματίζουσι δὲ ἐνίοτε καὶ ἄνευ προχειροτονίας. Προσέρχονται δὲ καὶ οἱ κήρυκες καὶ οἱ πρέσβεις τοῖς Πρυτάνεσι πρῶτον, καὶ οἱ τὰς ἐπιστολὰς φέροντες τούτοις ἀποδιδόασι.

394. *Καθαρμός, εὐχαί.* Ἐπειδὰν τὸ καθάρσιον περιενεχθῇ, καί ὁ κῆρυξ τὰς πατρίους εὐχὰς εὔξηται (α). Πρῶτον καθ' ἑκάστην δημοσίᾳ ἀρὰς ποιούμενοι κατὰ τῶν πονηρῶν, εἴ τις δῶρα λαμβάνων, μετὰ ταῦτα λέγει καὶ γινώσκει περὶ τῶν πραγμάτων (β).

395. *Τακτικὴ Συνέλευσις - Ἀντικείμενον.* Συνάγουσι τὸν δῆμον τετράκις τῆς πρυτανείας ἑκάστης. Προγράφουσι δὲ οἱ βουλευταὶ καὶ τὰς ἐκκλησίας ὑπὲρ ὧν δεῖ χρηματίζειν (α), μίαν μὲν *κυρίαν*, ἐν ᾗ δεῖ τὰς ἀρχὰς ἐπιχειροτονεῖν εἰ δοκοῦσι καλῶς ἄρχειν (β), καὶ περὶ σίτου καὶ φυλακῆς τῆς χώρας χρηματίζειν, καὶ τὰς εἰσαγγελίας ἐν ταύτῃ τῇ ἡμέρᾳ τοὺς βουλομένους ποιεῖσθαι, καὶ τὰς ἀπογραφὰς τῶν δημευομένων ἀναγιγνώσκειν καὶ τὰς λήξεις τῶν κλήρων καὶ τῶν ἐπικλήρων (γ), ὅπως μηδένα λάθῃ μηδὲν ἔρημον γενόμενον.

396. Ἑτέραν δὲ (τὴν δευτέραν), ταῖς ἱκετηρίαις, ἐν ᾗ θεὶς ὁ βουλόμενος ἱκετηρίαν, ὑπὲρ ὧν ἂν βούληται, καὶ ἰδίων καὶ δημοσίων, διαλέξεται πρὸς τὸν δῆμον.

397. Αἱ δὲ δύο περὶ τῶν ἄλλων εἰσίν, ἐν αἷς κελεύουσιν οἱ νόμοι, τρία μὲν ἱερῶν χρηματίζειν, τρία δὲ κήρυξι καὶ πρεσβείαις, τρία δὲ ὁσίων.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

398. Ἐπὶ δὲ τῆς ἕκτης πρυτανείας πρὸς τοῖς εἰρημένοις καὶ περὶ ὀστρακοφορίας ἐπιχειροτονίαν διδόασιν εἰ δοκεῖ ποιεῖν ἢ μή, καὶ συκοφαντῶν προβολὰς τῶν Ἀθηναίων καὶ τῶν μετοίκων μέχρι τριῶν ἑκατέρων, κἄν τις ὑποσχόμενός τι μὴ ποιήσῃ τῷ δήμῳ.

399. *Ἀγορεύσεις.* Τὸν κήρυκα καλεῖν πρῶτον τοὺς ὑπὲρ πεντήκοντα ἔτη γεγονότας, εἶτα δέ, τὸν βουλόμενον τῶν ἄλλων Ἀθηναίων, οἷς ἔξεστι.

400. *Συζήτησις.* Πρῶτον μὲν τὸν πρεσβύτατον τῶν Ἀθηναίων σωφρόνως ἐπὶ τὸ βῆμα παρελθόντα τὰ βέλτιστα τῇ πόλει συμβουλεύειν, δεύτερον δ' ἤδη καὶ τῶν ἄλλων πολιτῶν τὸν βουλόμενον καθ' ἡλικίαν.

---

393. Αὗται συνήθως συνεκαλοῦντο ἐν καιρῷ πολέμου ὑπὸ τῶν στρατηγῶν.

394. Ἐπειδὰν τὸ καθάρσιον περιενεχθῇ καὶ ὁ κῆρυξ τὰς πατρίους εὐχὰς εὔξηται (*Αἰσχίν. Τιμάρχ.* 23). — β) *Δεινάρχου — Ἀριστογ.* 16.

395. α) *Ἀριστοτ. Ἀθην. Πολ. XLIII, Δημοσθ. Τιμοκρ.* 21. — β) Ἴδε ἀνωτέρω θέμα 18 καὶ 399. *Δημοσθ. Θεοκρ.* 27, *Πολυδ. Η.* 87. — γ) *Πολυδ. Η.* 95.

396. *Πολυδ. Η.* 96, *Ἀριστ. Ἀθην. Πολ. XLIII.*

397. *Πολυδ. Η.* 96, *Ἀριστ. Ἀθην. Πολ. XLIII.*

398. *Ἀριστ. Ἀθην. Πολ. XLIII.*

399 *Πολυδ. Η* 96, *Αἰσχίν. Κτησιφ.* 4.

400. *Αἰσχίν. Κτησιφ.* 2. — *Ἴδε καὶ ν. 1 Π.* 503.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



401. *Θέματα.* Ἀπροβούλευτον μηδὲν ψήφισμα εἰσιέναι εἰς τὸν δῆμον.

402. *Ἐπιχειροτονία.* Τὴν δ' ἐπιχειροτονίαν εἶναι τῶν νόμων κατὰ τοὺς νόμους τοὺς κειμένους. ἐὰν δέ τινες τῶν νόμων τῶν κειμένων ἀποχειροτονηθῶσι, τοὺς πρυτάνεις, ἐφ' ὧν ἂν ἡ ἐπιχειροτονία γένηται, ποιεῖν περὶ τῶν ἀποχειροτονηθέντων τὴν τελευταίαν τῶν τριῶν ἐκκλησιῶν· τοὺς δὲ προέδρους, οἳ ἂν τύχωσι προεδρεύοντες ἐν ταύτῃ τῇ ἐκκλησίᾳ, χρηματίζειν ἐπάναγκες πρῶτον μετὰ τὰ ἱερὰ περὶ τῶν νομοθετῶν, καθ' ὅ τι καθεδοῦνται, καὶ περὶ τοῦ ἀργυρίου, ὁπόθεν τοῖς νομοθέταις ἔσται· τοὺς δὲ νομοθέτας εἶναι ἐκ τῶν ὀμωμοκότων τὸν ἡλιαστικὸν ὅρκον. ἐὰν δ' οἱ πρυτάνεις μὴ ποιῶσι κατὰ τὰ γεγραμμένα τὴν ἐκκλησίαν ἢ οἱ πρόεδροι μὴ χρηματίσωσι κατὰ τὰ γεγραμμένα, ὀφείλειν τῶν μὲν πρυτάνεων ἕκαστον χιλίας δραχμὰς ἱερὰς τῇ Ἀθηνᾷ, τῶν δὲ προέδρων ἕκαστος ὀφειλέτω τετταράκοντα δραχμὰς ἱερὰς τῇ Ἀθηνᾷ. καὶ ἔνδειξις αὐτῶν ἔστω πρὸς τοὺς θεσμοθέτας, καθάπερ ἐάν τις ἄρχῃ ὀφείλων τῷ δημοσίῳ· οἱ δὲ θεσμοθέται τοὺς ἐνδειχθέντας εἰσαγόντων εἰς τὸ δικαστήριον κατὰ τὸν νόμον ἢ μὴ ἀνιόντων εἰς Ἄρειον πάγον, ὡς καταλύοντες τὴν ἐπανόρθωσιν τῶν νόμων.

403. *Εἰσαγωγὴ νέου νόμου.* Πρὸ δὲ τῆς ἐκκλησίας ὁ βουλόμενος Ἀθηναίων ἐκτιθέτω πρόσθεν τῶν ἐπωνύμων γράψας τοὺς νόμους οὓς ἂν τιθῇ, ὅπως ἂν πρὸς τὸ πλῆθος τῶν τεθέντων νόμων ψηφίσηται ὁ δῆμος περὶ τοῦ χρόνου τοῖς νομοθέταις. ὁ δὲ τιθεὶς τὸν καινὸν νόμον, ἀναγράψας εἰς λεύκωμα, ἐκτιθέτω πρόσθεν τῶν ἐπωνύμων ὁσημέραι, ἕως ἂν ἡ ἐκκλησία γένηται. αἱρεῖσθαι δὲ καὶ τοὺς συναπολογησομένους τὸν δῆμον τοῖς νόμοις, οἳ ἂν ἐν τοῖς νομοθέταις λύωνται, πέντε ἄνδρας ἐξ Ἀθηναίων ἁπάντων, τῇ ἑνδεκάτῃ τοῦ ἑκατομβαιῶνος μηνός.

404. Πολιτεύεσθαι Ἀθηναίοις κατὰ τὰ πάτρια, νόμοις δὲ χρῆσθαι τοῖς Σόλωνος, καὶ μέτροις καὶ σταθμοῖς, χρῆσθαι δὲ καὶ τοῖς Δράκοντος θεσμοῖς, οἷσπερ ἐχρώμεθα ἐν τῷ πρόσθεν χρόνῳ. Ὁπόσων δ' ἂν προσδέῃ οἵ δε ᾑρημένοι νομοθέται ὑπὸ τῆς βουλῆς ἀναγράφοντες ἐν σανίσιν ἐκτιθέντων πρὸς τοὺς ἐπωνύμους σκοπεῖν τῷ βουλομένῳ, καὶ παραδιδόντων ταῖς ἀρχαῖς ἐν τῷδε τῷ μηνί. Τοὺς δὲ παραδιδομένους νόμους δοκιμασάτω πρότερον ἡ βουλὴ καὶ οἱ νομοθέται οἱ πεντακόσιοι, οὓς οἱ δημόται εἵλοντο, ἐπειδὰ ὀμωμόκωσιν.

405. *Ψηφοφορία.* Τοὺς νομοθέτας εἶναι ἕνα καὶ χιλίους ἐκ τῶν ὀμωμοκότων, συννομοθετεῖν δὲ καὶ τὴν βουλήν. Ἡ ψηφοφορία ἐγένετο διὰ ψήφων.

---

401. Ἴδε θέμα 33 καὶ σημείωσιν θέμ. 18.

402. Ἴδε ἀνωτέρω θέμ. 20 καὶ 21. *Δημοσθ. Τιμοκρ. 20 ἐπ.*

403. *Δημοσθ. Τιμοκρ. 23.* Ἴδε ἀνωτέρω θέμ. 20.

404. *Ἀνδοκίδ. Μυστηρ. 83, 84.*

405. Ἴδε θέμ. 361.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



406. Μηδὲ νόμον ἐπ' ἀνδρὶ ἐξεῖναι θεῖναι, ἐὰν μὴ τὸν αὐτὸν ἐπὶ πᾶσιν Ἀθηναίοις, ἐὰν μὴ ψηφισαμένων, μὴ ἔλαττον ἑξακισχιλίων, οἷς ἂν δόξῃ, κρύβδην ψηφιζομένοις.

407. Ποιοῦσι δὲ καὶ ἀρχαιρεσίας στρατηγῶν καὶ ἱππάρχων καὶ τῶν ἄλλων τῶν πρὸς τὸν πόλεμον ἀρχῶν ἐν τῇ ἐκκλησίᾳ, καθ' ὅ τι ἂν τῷ δήμῳ δοκῇ.

408. *Περιορισμοὶ ῥητόρων*. Τῶν ῥητόρων ἐάν τις λέγῃ ἐν ⟨τῇ⟩ βουλῇ ἢ ἐν τῷ δήμῳ ⟨μὴ⟩ περὶ τοῦ εἰσφερομένου, ἢ μὴ χωρὶς περὶ ἑκάστου, ἢ δὶς περὶ τοῦ αὐτοῦ ὁ αὐτὸς τῆς αὐτῆς, ἢ λοιδορῆται ἢ κακῶς ἀγορεύῃ τινά, ἢ ὑποκρούῃ, ἢ χρηματιζόντων μεταξὺ ἀνεστηκὼς λέγῃ περὶ τοῦ μὴ ἐπὶ τοῦ βήματος, ἢ παρακελεύηται, ἢ ἕλκῃ τὸν ἐπιστάτην, ἀφειμένης τῆς ἐκκλησίας ἢ τῆς βουλῆς κυριευέτωσαν οἱ πρόεδροι μέχρι πεντήκοντα δραχμῶν εἰς ἕκαστον ἀδίκημα ἐγγράφειν τοῖς πράκτορσιν. Ἐὰν δὲ πλέονος ἄξιος ᾖ ζημίας, ἐπιβαλόντες μέχρι πεντήκοντα δραχμῶν εἰσφερέτωσαν εἰς τὴν βουλὴν ἢ εἰς τὴν πρώτην ἐκκλησίαν. Ὅταν δ' ἐξίωσιν ⟨αἱ⟩ κλήσεις, κρινάτωσαν· καὶ ἐὰν καταγνωσθῇ αὐτοῦ, κρύβδην ψηφιζομένων, ἐγγραψάτωσαν οἱ πρόεδροι τοῖς πράκτορσιν.

409. *Δικαστικὴ δικαιοδοσία δήμου*. Ἠσκεῖτο παρὰ τῆς ἐκκλησίας, ἢ παρεπέμπετο βουλῇ ἢ Ἀρείῳ πάγῳ, ἢ ζητηταῖς (α). Ὁ δῆμος ὥριζε συνηγόρους ἢ συνδίκους, ἀποζημιουμένους (β).

410. *Προβολή*. Προβολὴ δὲ ἦν κλῆσις εἰς δίκην κατὰ τῶν κακόνως πρὸς τὸν δῆμον διακειμένων (α). Προβολὴ δ' ἐγίνοντο τοῦ δήμου ψηφισαμένου καὶ τῶν εὐνουστάτων τῇ πόλει... καὶ περὶ τῶν ἐξυβρισάντων ἢ ἀδικησάντων ἢ ἀσεβησάντων περὶ τὰς ἑορτὰς (β) περὶ τῶν ἀδικημάτων κατὰ τῆς δημοσίας περιουσίας (γ), περὶ τῶν ἐμπορικῶν μηνύσεων (δ) καὶ περὶ τῶν συκοφαντῶν, ὅτι οἱ νόμοι ἔδωκαν κατ' αὐτῶν γραφὰς μὲν πρὸς τοὺς θεσμοθέτας, εἰσαγγελίας δὲ εἰς τὴν βουλήν, προβαλὰς δ' ἐν τῷ δήμῳ, νομίζοντες τοὺς ταύτῃ τῇ τέχνῃ χρωμένους ἁπάσας ὑπερβάλλειν τὰς πονηρίας (ε). Ἰσοδυνάμει αἰτήσει ἀδείας πρὸς ἄσκησιν ἀγωγῆς (στ).

---

406. Ἴδε ἀνωτέρω θέμα 22α.

407. *Ἀριστοτ. Ἀθην. Πολ. 44, 4.*

408. *Αἰσχίν. Τιμάρχ. 35.*

409. α) *Ἀνδοκίδ. Μυστηρ. 14, 36, 40, 65.* — β) *Δεινάρχ. Ἀριστογ. 6, Αἰσχίν. Κτησιφ. 13.*

410. α) *Πολυδ. Η. 46.* — Προσγράφουσι δὲ καὶ κυρίαν ἐκκλησίαν, ἐν ᾗ δεῖ τὰς ἀρχὰς ἀποχειροτονεῖν, εἰ δοκοῦσι μὴ καλῶς ἄρχειν (*Ἁρποκρατ.*). — β) *Δημοσθ. Μειδ. 175,* ἴδε θέμα 247. — Τοὺς πρυτάνεις ποιεῖν ἐκκλησίαν ἐν Διονύσου τῇ ὑστεραίᾳ τῶν Πανδίων. ἐν δὲ ταύτῃ χρηματίζειν πρῶτον μὲν περὶ ἱερῶν, ἔπειτα τὰς προβολὰς παραδιδότωσαν τὰς γεγενημένας ἕνεκα τῆς πομπῆς ἢ τῶν ἀγώνων τῶν ἐν τοῖς Διονυσίοις, ὅσαι ἂν μὴ ἐκτετισμέναι ὦσιν (*Δημοσθ. Μειδ. 8*). — γ) Προβολὴ φανεροῦ μέν τινος, λανθάνοντος δὲ μήνυσις. Καικίλιος δέ φησιν εἰ-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



411. *Εἰσαγγελία.* Εἰσαγγελία ἐστὶν ὁ περὶ κοινῶν ἀδικημάτων δεδώκασιν ἀπενεγκεῖν οἱ νόμοι. Γενέσθαι δέ, ἐάν τις καταλύῃ τὸν δῆμον ῥήτωρ, ἢ μὴ τὰ ἄριστα συμβουλεύῃ χρήματα λαμβάνων, ἢ ἐάν τις προδῷ χωρίον, ἢ ναῦς ἢ πεζὴν στρατιάν, ἢ ἐάν τις εἰς τοὺς πολεμίους ἀφικνῆται, ἢ ἐνοικῇ παρ' αὐτοῖς, ἢ στρατεύηται μετ' αὐτῶν, ἢ δῶρα λαμβάνῃ (α). Πρός δε καὶ τὰ ἄγραφα ἀδικήματα (β).

412. Εἰσήγετο ἡ εἰσαγγελία εἰς τὸν δῆμον, διορίζοντα πέντε συνηγόρους.

413. Τοὺς μὲν ἄλλας γραφὰς γραψαμένους χιλίας τ' ὀφλισκάνειν, εἰ τὸ πέμπτον τῶν ψήφων μὴ μεταλάβοιεν, καὶ προσατιμοῦσθαι, τοὺς δὲ εἰσαγγέλλοντας μὴ ἀτιμοῦσθαι μέν, ὀφλεῖν δὲ τὰς χιλίας· ἔοικε δὲ τοῦτο διὰ τοὺς ῥᾳδίως εἰσαγγέλλοντας ὕστερον προσγεγράφθαι.

---

ναι ἣν κατὰ τὰ δημόσια μέταλλα ὑπορυττόντων ἀποφέρουσι καὶ καθόλου τῶν κοινὰ κλεπτόντων. (*Ρητορ. Λεξ.*, *Δημοσθ. Μειδ. 171, κ.λπ.*). — δ) *Ρητορ. Λεξ.* — ε) Ἴδε θέμα 295. — Διαφέρει *φήμη* καὶ *συκοφαντία*. Φήμη μὲν γὰρ οὐ κοινωνεῖ διαβολῇ, διαβολὴ δὲ ἀδελφόν ἐστι συκοφαντίᾳ. Διορῶ δ' αὐτῶν ἑκάτερον σαφῶς. Φήμη μὲν ἐστιν, ὅταν τὸ πλῆθος τῶν πολιτῶν αὐτόματον ἐκ μηδεμιᾶς προφάσεως λέγῃ τινὰ ὡς γεγενημένην πρᾶξιν· συκοφαντία δ' ἐστίν, ὅταν πρὸς τοὺς πολλοὺς εἷς ἀνὴρ αἰτίαν ἐμβαλών, ἔν τε ταῖς ἐκκλησίαις ἁπάσαις πρός τε τὴν βουλὴν διαβάλλῃ τινά. Καὶ τῇ μὲν φήμῃ δημοσίᾳ θύομεν ὡς θεῷ, τῶν δὲ συκοφαντῶν, ὡς κακούργων δημοσίᾳ προβολὰς ποιούμεθα (*Αἰσχίν. Παραπρεσβ. 145*). — στ) Εἰσήγετο ἡ ὑπόθεσις διὰ τῶν θεσμοθετῶν (*Πολυδ. Η. 87*) εἰς τὴν Ἡλιαίαν πρὸς ἐκδίκασιν (*Δημοσθ. Μειδ. ὑπόθεσις*).

411. α) Εἰσαγγελία ἐστὶν ὁ περὶ κοινῶν ἀδικημάτων δεδώκασιν ἀπενεγκεῖν οἱ νόμοι. Ἔστι δὲ τὸ μελετώμενον ἐν ταῖς τῶν σοφιστῶν διατριβαῖς, ἔστι δ' ὅτε ἐμβάλλοντες τοὺς συκοφαντουμένους εἰσήγγειλον (*Ρητορ. Λεξ.*) — β) Ἤτοι τὰ μὴ προβλεπόμενα ὑπὸ νόμου, ὅτε ὁ δῆμος εἴτε ἐνομοθέτει περὶ αὐτῶν, εἴτε ἐδίκαζεν ὁ ἴδιος, μέχρι προστίμου 500 δραχ., εἴτε παρέπεμπε τὴν ὑπόθεσιν εἰς δέκα ἄρχοντας, οἵτινες εἰσεῖγον αὐτὴν εἰς τὴν Ἡλιαίαν «Τιμοκράτης εἶπεν, ὁπόσοι Ἀθηναίων κατ' εἰσαγγελίαν ἐκ τῆς βουλῆς ἢ νῦν εἰσιν ἐν τῷ δεσμωτηρίῳ ἢ τὸ λοιπὸν κατατεθῶσι, καὶ μὴ παραδοθῇ ἡ κατάγνωσις αὐτῶν τοῖς θεσμοθέταις ὑπὸ τοῦ γραμματέως τοῦ κατὰ πρυτανείαν κατὰ τὸν εἰσαγγελτικὸν νόμον, δεδόχθαι εἰσάγειν τοὺς ἕνδεκα εἰς τὸ δικαστήριον τριάκονθ' ἡμερῶν ἀφ' ἧς ἂν παραλάβωσιν, ἐὰν μή τι δημοσίᾳ κωλύῃ, ἐὰν δὲ μή, ὅταν πρῶτον οἷόν τ' ᾖ. κατηγορεῖν δ' Ἀθηναῖον τὸν βουλόμενον οἷς ἔξεστιν. ἐὰν δ' ἁλῷ, τιμάτω ἡ ἡλιαία περὶ αὐτοῦ ὅ τι ἂν δοκῇ ἄξιος εἶναι παθεῖν ἢ ἀποτῖσαι. ἐὰν δ' ἀργυρίου τιμηθῇ, δεδέσθω ἕως ἂν ἐκτίσῃ ὅ τι ἂν αὐτοῦ καταγνωσθῇ. (*Δημοσθ. Τιμοκρ. 63 σελ. 720*).— Καταλέγονται εἰς ταύτας, τὸ ἀδίκημα τῶν ἐν Ἀργινούσαις πολεμησάντων στρατηγῶν (*Ξενοφ. Ἑλλην. Α. 7*), τὸ κατὰ τοῦ Ἀντιφῶντος ψήφισμα (*Πλουτ. Βίος ῥητόρων σελ. 833*), τὸ τῆς ἀσεβείας καὶ ἄλλα.

412. Ὁ δῆμος ἢ ἐνήγαγεν ἢ ἐδίκαζεν, ὅτε ὁ δῆμος ἐπεῖχε θέσιν ἐνάγοντος.

413. Ὅτι δὲ ὁ εἰσαγγείλας καὶ οὐχ ἑλὼν ἀζήμιος ἦν, Ὑπερείδης ἐν τῷ ὑπὲρ Λυκόφρονος φησίν. καίτοι γε ὁ Θεόφραστος τοὺς μὲν ἄλλας γραφὰς γραψαμένους χιλίας τ' ὀφλισκάνειν, εἰ τὸ πέμπτον τῶν ψήφων μὴ καταλάβοιεν, καὶ προσατιμοῦσθαι, τοὺς δὲ εἰσαγγέλλοντας μὴ ἀτιμοῦσθαι μέν, ὀφλεῖν δὲ τὰς χιλίας· ἔοικε δὲ τοῦτο διὰ τοὺς ῥᾳδίως εἰσαγγέλλοντας ὕστερον προσγεγράφθαι (*Πολυδ. Η. 53*).

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

414. *Γραφὴ παρανόμων.* Ἐάν τις λύσας τινὰ τῶν νόμων τῶν κειμένων ἕτερον ἀντιθῇ μη ἐπιτήδειον τῷ δήμῳ τῷ Ἀθηναίων ἢ ἐναντίον τῶν κειμένων τῳ, τὰς γραφὰς εἶναι κατ' αὐτοῦ κατὰ τὸν νόμον ὃς κεῖται, ἐάν τις μὴ ἐπιτήδειον θῇ νόμον.

415. Τὸν λέγοντά τινα νόμον καὶ μὴ ἀντεισφέροντα κολάζεσθαι.

416. Τὸν γράψαντα νόμον μετὰ ἐνιαυτὸν μὴ εἶναι ὑπεύθυνον τιμωρίᾳ, ὅμως δὲ ἐξεῖναι ποιεῖσθαι τὰς κατηγορίας.

417. Ὑπομοσάμενος γάρ τις τὸ γραφέν, οὗ ἡ κατηγορία ὑπωμοσία ἐκαλεῖτο, διήλεγχεν ὅτι ἔστι παράνομον ἢ ἄδικον ἢ ἀσύμφορον. . . καὶ οὐκ ἦν μετὰ τὴν ὑπωμοσίαν τὸ γραφέν, πρὶν κριθῆναι, κύριον.

418. Ἦν ὁ ἀγὼν τιμητὸς Ὁ τρὶς ἡλωκὼς παρανόμων ἄτιμος.

419. *Μὴ ὑποβολὴ εἰς τὸν δῆμον ψηφίσματος ἢ εἰσαγγελίας.* Ἔνδειξις δὲ ἡ πρὸς τὸν ἄρχοντα ὁμολογουμένου ἀδικήματος μήνυσις, οὐ κρίσεως ἀλλὰ τιμωρίας δεομένου. ὁ δ' ἐνδεικνύμενος ἐν γραμματείῳ πρὸς τὸν ἄρχοντα τὴν ἔνδειξιν ἀποφέρει, ἵν' ὑπεύθυνος ᾖ τῆς ψευδοῦς ἐνδείξεως. Προσγράφουσι δὲ καὶ κυρίαν ἐκκλησίαν, ἐν ᾗ δεῖ τὰς ἀρχὰς ἐπιχειροτονεῖν, εἰ δοκοῦσι μὴ καλῶς ἄρχειν.

420. *Ὀστρακισμός.*—Κόλασις οὐν ἦν ὁ ἐξοστρακισμός, ἀλλὰ παραμυθία καὶ κουφισμός, ἡδομένου τοῦ ταπεινοῦν τοὺς ὑπερέχοντας. Οἱ δ' ἄρχοντες πρῶτον μὲν διηρίθμουν τὸ σύμπαν ἐν ταὐτῷ τῶν ὀστράκων πλῆθος.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

414. Ἴδε ἀνωτέρω θέματα 20, 21, 22.

415. Ἴδε ἀνωτέρω θέμα 23.

416. Τοῦ νόμου οὖν οὕτως ἔχοντος, ἐγράψατο μὲν τὸ πρότερον Βάθιππος Λεπτίνην, ὃς ἀπέθανε πρὶν εἰσελθεῖν τὴν γραφήν· κἆτα διετρίβη χρόνος, καὶ γέγονε Λεπτίνης ἀνεύθυνος· νόμος γὰρ ἦν τὸν γράψαντα νόμον ἢ ψήφισμα μετὰ ἐνιαυτὸν μὴ εἶναι ὑπεύθυνον. ὅμως ἐπειδὴ καὶ οὕτω κατὰ τὸν νόμον ἐξῆν ποιεῖσθαι τὰς κατηγορίας, κἂν οἱ γράψαντες ἔξω κινδύνων ὦσι (*Δημοσθ. Λεπτίν. προοίμ.*).

417. Ἴδε θέμα 20. — *Δημοσθ. Τιμοκρ. 33 - 39, Αἰσχίν. Κτησιφῶντος, Πολυδ. Η. 57.*

418. Ὁ τρὶς τιμωρηθεὶς διὰ γραφῆς παρανόμων ἠτιμοῦτο.

419. *Δεινάρχου —Ἀριστογ. 10, Δημοσθ. 53.—Σουΐδα λέξ. Νομοφύλακες.*— Τότε ἐγὼ μόνος τῶν πρυτάνεων ἠναντιώθην ὑμῖν ποιεῖν παρὰ τοὺς νόμους καὶ ἐναντία ἐψηφισάμην· καὶ ἑτοίμων ὄντων ἐνδεικνύναι με καὶ ἀπάγειν τῶν ῥητόρων, καὶ ὑμῶν κελευόντων καὶ βοώντων (*Πλάτων. Ἀπολογ. Σωκρ. ΧΧβ*).

420. Ἐξοστρακίζεσθαι τοὺς ὑπερέχοντας τὰ δέκα ἔτη. — Ἡ οὗτος διήρκει δέκα ἔτη. — Ἴδε *Πλουτ. Θεμιστ. — Θουκυδ. Α. 102.* — Ἡ ἐξορία ἢ ὁ ὀστρακισμὸς ἐπεβάλλετο ἐξ ἀρχῆς εἰς τὸν ἑκούσιον ἢ ἀκούσιον φονέα (*Ὁμήρου Ἰλ. Ψ. 88*), βραδύτερον ὅμως, καὶ πιθανώτερον ἐπὶ Κλεισθένους, ἐνομοθετήθη ὁ ἐξοστρακισμός, ὁ ὁποῖος ἐπεβάλλετο εἰς πᾶν ἄτομον, καὶ δὴ πολιτικὸν κατὰ τὴν ἐπιχειροτονίαν τοῦ δήμου, αἰτήσει οἱουδήποτε, ἐφ' ὅσον αἱ διδόμεναι ψῆφοι ἔδει νὰ μὴν εἶναι ἐλάσσονες τῶν ἑξακισχιλίων (διαρρυθμηθέντων δὲ τῶν ὀστράκων, ὅτε πλεῖστα ἐγέ-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



## β'. Βουλὴ τῶν πεντακοσίων

421. *Ἐκλογὴ τῶν πεντακοσίων* (α).— Ἐκληροῦντο πεντακόσιοι οἱ βουλεύειν ἐφιέμενοι, ἀνὰ πεντήκοντα ἐξ ἑκάστης τῶν δέκα φυλῶν, ἐκ τῶν τὴν βουλευτικὴν ἡλικίαν ἀγόντων, ἦν δὲ ἡ ἐκλογὴ ἐνιαύσιος (β).—Τὰ μέλη ἐπανεξελέγοντο (γ).

422. Οἱ βουλευταὶ ὑπεβάλλοντο εἰς δοκιμασίαν, ἔδει νὰ εἶναι Ἀθηναῖοι, ἐξ ἀμφοῖν, τριακονταετεῖς, καὶ νὰ μὴ κατεδικάσθησαν εἰς τὴν ποινὴν τῆς ἀτιμίας (α).— Ἡ βουλή, διὰ ψηφοφορίας, ἠδύνατο ν' ἀποβάλῃ μέλος τι αὐτῆς, δι' ἀνάρμοστον διαγωγήν, ὁ τοιοῦτος δὲ ἐκαλεῖτο *ἐκφυλλοφορηθείς* (β).

423. *Ὅρκος βουλευτῶν*.—Τὰ βέλτιστα βουλεύσειν τῷ δήμῳ Ἀθηναίων. Κατὰ τοὺς νόμους βουλεύσω.—Οὐδὲ δήσω Ἀθηναίων οὐδένα, ὃς ἂν ἐγγυητὰς τρεῖς καθιστῇ τὸ αὐτὸ τέλος τελοῦντας, πλὴν ἐάν τις ἐπὶ προδοσίᾳ τῆς πόλεως ἢ ἐπὶ καταλύσει τοῦ δήμου συνιὼν ἁλῷ, ἢ τέλος τι πριάμενος ἢ ἐγγυησάμενος ἢ ἐκλέγων μὴ καταβάλλῃ. Καθεδεῖσθαι ἐν τῷ γράμματι, ᾧ ἂν λάχωσι. Καὶ οὐ δέξομαι ἔνδειξιν ἢ ἀπαγωγὴν ἕνεκα τῶν πρότερον γεγενημένων, πλὴν τῶν φευγόντων.

424. *Κανονισμὸς τῆς Βουλῆς*. Τὸ βουλευτήριον ἦν περὶ τὸ Μητρῷον τῆς Ἀκροπόλεως (α), πάντοτε μεστὸν ἰδιωτῶν (β).

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

---

νοντο καὶ μὴ ἐλάττω τῶν ἑξακισχιλίων, ὁ ἐξοστρακιζόμενος ἐντὸς δέκα ἡμερῶν ὤφειλε νὰ καταλίπῃ τὴν πόλιν, καὶ νὰ ἀπομακρυνθῇ αὐτῆς ἐπὶ δέκα ἔτη. Οὗτος δὲν ἀπετέλει, κυρίως εἰπεῖν, ποινήν, οὐδ' ἐλάμβανε χώραν γραφή τις, διὰ τοῦτο, δὲν ἐπήγετο τὴν δήμευσιν τῆς περιουσίας τοῦ ἐξοστρακιζομένου, ὅπως ἐγένετο ἐπὶ ἀειφυγίας, καθωρίζετο δὲ καὶ ὁ τόπος τῆς διαμονῆς αὐτοῦ. Ἀναφέρονται ὡς ἐξοστρακισθέντες, ἐν ἀρχῇ μὲν ὁ Κλεισθένης, ὁ εἰσαγαγὼν τὸν θεσμὸν τοῦτον, βραδύτερον δὲ ὁ Ἀριστείδης, ὁ Θεμιστοκλῆς, ὁ Κίμων, ὁ Ἀλκιβιάδης καὶ ἄλλοι καὶ τελευταῖος ὁ λυχνοποιὸς Ὑπέρβολος (*Θουκυδ. Η. 73, Πλουτ. Ἀλκιβ. 13, Ἀριστείδ. 10, Πολυδ. Η. 19*).

421. α) Δευτέραν προσκατένειμε βουλήν, ἀπὸ φυλῆς ἑκάστης, τεττάρων οὐσῶν, ἑκατὸν ἄνδρας ἐπιλεξάμενος, οὓς προβουλεύειν ἔταξε τοῦ δήμου καὶ μηδὲν ἐᾶν ἀπροβούλευτον εἰς ἐκκλησίαν εἰσφέρεσθαι (*Πλουτ. Σόλων ΙΘ'.*). Ὅταν αἱ φυλαὶ βραδύτερον ἐπὶ Κλεισθένους ηὐξήθησαν εἰς δέκα, ἐξελέγοντο ἀνὰ πεντήκοντα μέλη ἐξ ἑκάστης φυλῆς. Ἡ ἐκλογὴ ἐγένετο κατ' ἔτος.— β) *Δημοσθ. Μειδ. 114, Αἰσχίν. Παραπρ. 5*).—Τὴν δὲ βουλὴν βουλεύεσθαι πολλὰ μὲν περὶ πολέμου, πολλὰ δὲ περὶ πόρου χρημάτων, πολλὰ δὲ περὶ νόμων θέσεως, πολλὰ δὲ περὶ τῶν κατὰ πόλιν γιγνομένων, πολλὰ δὲ καὶ τοῖς συμμάχοις, καὶ φόρον δέξασθαι, καὶ νεωρείων ἐπιμεληθῆναι καὶ ἱερῶν (*Ξενοφ. Πολιτ. Ἀθην. Γ'. 2, Αἰσχίν. Παραπρ. 16*).

422. α) *Αἰσχίν. Τιμάρχ. 111 - 2, Ἀριστοτ. Ἀθην. Πολιτ. 22, Δημοσθ. Τιμοκρ. 144, Ἀνδοκίδ. Μυστ. 93.* — β) Οὗτος ἦτο ἱκανὸς νὰ μετέχῃ ὡς δικαστὴς εἰς τὰ δικαστήρια, ἴδε ἀνωτέρω θέμα 325. — Ἡ ψηφοφορία ἐγένετο διὰ φύλλων ἐλαίας.

423. *Δημοσθ. Τιμοκρ. 144, Ἀνδοκίδ. Μυστηρ. 93.*

424. α) *Πανσαν. Α. 3.* — β) *Ἀνδοκίδ. Μυστηρ. 111.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



425. *Προσευχή.* Εἰσιόντες οἱ βουλευταὶ ἐν τῷ βουλευτηρίῳ προσεύχονται.

426. *Ἀρχαιρεσίαι.* Καθ' ἑκάστην Βουλὴν ἀποκληροῦν φυλὴν ἐπὶ τὸ βῆμα, ἥτις προεδρεύσει καὶ καθῆσθαι τοὺς φυλέτας, βοηθοῦντας τοῖς νόμοις καὶ τῇ δημοκρατίᾳ.—Ἑκάστη φυλὴ ἐπρυτάνευεν ἐπὶ δέκατον τοῦ ἔτους (α), αἱ μὲν πρῶται τέσσαρες, ἓξ καὶ τριάκοντα ἡμέρας ἑκάστη, αἱ δὲ ἕξ, αἱ ὕστεραι, πέντε καὶ τριάκοντα ἡμέρας ἑκάστη, κατὰ διαδοχὴν τοῦ κλήρου.—Κατὰ σελήνην γὰρ ἄγουσι τὸν ἐνιαυτὸν (β).

427. Ἡ πρυτανεύουσα φυλή, κλήρῳ αἱρεθεῖσα, (ἧς τὰ πεντήκοντα μέλη ἐκαλοῦντο Πρυτάνεις) ἐκλήρου τὸν *Ἐπιστάτην* καὶ δέκα *Προέδρους* (α), ἡρεῖτο δὲ καὶ ὁ *γραμματεὺς* καὶ ὁ *ἀντιγραφεύς* (β).

428. Καὶ ἐπειδὰν συναγάγωσιν οἱ πρυτάνεις τὴν βουλὴν ἢ τὸν δῆμον, οὗτος κληροῖ προέδρους ἐννέα, ἕνα ἐκ τῆς φυλῆς ἑκάστης πλὴν τῆς πρυτανευούσης, καὶ πάλιν ἐκ τούτων ἐπιστάτην ἕνα, καὶ παραδίδωσι τὸ πρόγραμμα αὐτοῖς· οἱ δὲ παραλαβόντες τῆς τ' εὐκοσμίας ἐπιμελοῦνται, καὶ ὑπὲρ ὧν δεῖ χρηματίζειν προτιθέασιν καὶ τὰς χειροτονίας κρίνουσιν καὶ τὰ ἄλλα πάντα διοικοῦσι, καὶ τοῦ [[τ']] ἀφεῖναι κύριοί εἰσιν.

429. Καὶ ἐπιστατῆσαι μὲν οὐκ ἔξεστιν πλέον ἢ ἅπαξ ἐν τῷ ἐνιαυτῷ, προεδρεύειν δ' ἔξεστιν ἅπαξ ἐπὶ τῆς πρυτανείας ἑκάστης.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

---

425. *Ἀντιφῶντος — Χορευτ. 45.*

426. α) *Ἀριστοφ. Ἐκκλησ. 396 σχόλ.* — β) *Ἀριστοτ. Ἀθην. Πολιτ. 43, 2.* — Ἡ διάρκεια ὅμως αὕτη ἐποίκιλλε κατὰ λόγον τῶν ἡμερῶν, ἃς περιελάμβανεν ἕκαστον σεληνιακὸν ἔτος, ἤτοι τῶν 344 ἢ 355 τοῦ συνήθους τοιούτου, ἢ 384 τοῦ ἐμβολίμου.

427. α) *Ἀριστοτ. Ἀθην. Πολιτ. 43, 3 καὶ 44, 2.* — β) Κληροῦσι δὲ καὶ γραμματέα τὸν κατὰ πρυτανείαν καλούμενον, ὃς τῶν γραμμάτων ἐστὶ κύριος, καὶ τὰ ψηφίσματα καὶ τὰ γιγνόμενα φυλάττει, καὶ τἆλλα πάντα ἀντιγράφεται καὶ παρακάθηται τῇ βουλῇ. πρότερον μὲν οὖν οὗτος ἦν χειροτονητός, καὶ τοὺς ἐνδοξοτάτους καὶ πιστοτάτους ἐχειροτόνουν......νῦν δὲ γέγονε κληρωτός. κληροῦσι δὲ καὶ ἐπὶ τοὺς νόμους ἕτερον ὃς παρακάθηται τῇ βουλῇ, καὶ ἀντιγράφεται καὶ οὗτος πάντας. χειροτονεῖ δὲ καὶ ὁ δῆμος γραμματέα τὸν ἀναγνωσόμενον αὐτῷ καὶ τῇ βουλῇ (*Ἀριστοτ. Ἀθην. Πολιτ. 54 3, Πολυδ. Η. 98*). — Οἱ ὑπογραμματεύοντες, ἀργύριον εἰλήφασι καὶ πιθανῆς καθ' ἑκάστην πρυτανείαν ἀνελογίζοντο τὰς προσόδους τῷ δήμῳ, ἦσαν δὲ παρὰ τῷ Πρυτανείῳ ἀείσιτοι.

428. *Ἀριστοτ. Ἀθην. Πολιτ. 44, 2.* — Ἀνὰ ἕνα Πρόεδρον ἐξ ἑκάστης φυλῆς, ὅστις ἐκαλεῖτο ἐπιψηφίζων Πρόεδρος. Πιστεύεται, ὅτι περιορισθέντων τῶν καθηκόντων τῶν Πρυτάνεων, ταῦτα περιῆλθον εἰς τοὺς Προέδρους, πιστεύεται ἀκόμη, ὅτι κατὰ πᾶσαν ἐκκλησίαν, κατὰ νεώτερον νόμον, ἐξελέγετο μία τῶν φυλῶν ὅπως προεδρεύῃ τῶν συνεδριάσεων, καὶ ἐφορᾷ τὴν ἐκτέλεσιν τῶν νόμων καὶ τὴν τάξιν.

429. Ὁ Ἐπιστάτης ἐπεῖχε θέσιν Προέδρου τῆς Κυβερνήσεως, ἐξελέγετο διὰ μίαν ἡμέραν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



430. *Κῆρυξ*. Τὸν κήρυκα εὔξασθαι μετ' εὐφημίας πολλῆς, καὶ οὕτως τὸ βουλεύεσθαι περὶ τῶν πραγμάτων παραδιδόναι. Τὸν κήρυκα τοῖς θεοῖς εὔχεσθαι, εἴ τις δῶρα λαμβάνων, μετὰ ταῦτα λέγει καὶ γινώσκει περὶ τῶν πραγμάτων, ἐξώλη ποιεῖν αὐτόν τε καὶ γένος καὶ οἰκίαν.

431. *Δικαιώματα καὶ ὑποχρεώσεις τῆς Βουλῆς*. Τὴν Βουλὴν κυρίαν εἶναι ζημιοῦν πεντακοσίας. Αὕτη πρότερον μὲν ἦν κυρία, καὶ χρήμασι ζημιῶσαι καὶ δῆσαι καὶ ἀποκτεῖναι. Ὕστερον δὲ ὁ δῆμος ἀφείλετο τῆς βουλῆς τὸ θανατοῦν καὶ δεῖν καὶ χρήμασι ζημιοῦν, καὶ νόμον ἔθετο, ἄν τινος ἀδικεῖν ἡ βουλὴ καταγνῷ ἢ ζημιώσῃ, τὰς καταγνώσεις καὶ τὰς ἐπιζημιώσεις εἰσάγειν τοὺς θεσμοθέτας εἰς τὸ δικαστήριον, καὶ ὅ τι ἂν οἱ δικασταὶ ψηφίσωνται, τοῦτο κύριον εἶναι (α).—Ἡ βουλὴ προβουλεύει εἰς τὸν δῆμον· καὶ οὐκ ἔξεστιν οὐδὲν ἀπροβούλευτον, οὐδ' ὅ τι ἂν μὴ προγράψωσιν οἱ Πρυτάνεις ψηφίσασθαι τῷ δήμῳ. Κατ' αὐτὰ γὰρ ταῦτα ἔνοχός ἐστιν ὁ νικήσας γραφῇ παρανόμων (β).—Τοὺς Πρυτάνεις μὴ ἀναψηφίσαι (γ).

432. *Ὑπηρεσίαι Δήμου ἢ Βουλῆς*. Δοκιμάζει ἡ βουλὴ καὶ τοὺς *βουλευτάς*, τοὺς τὸν ὕστερον ἐνιαυτὸν βουλεύσοντας, καὶ τοὺς ἐννέα ἄρχοντας. Καὶ πρότερον μὲν ἦν ἀποδοκιμάσαι κυρία, νῦν δὲ τούτοις ἔφεσίς ἐστιν εἰς τὸ δικαστήριον (α). Κληροῖ δέκα *ῥήτορας*, ὅπως ὑπερασπίζωνται τὰ συμφέροντα τοῦ λαοῦ ἔν τε τῇ ἐκκλησίᾳ καὶ ἐν τῇ βουλῇ (β). *Πέντε συνδίκους*, ἐκλεγομένους παρὰ τοῦ λαοῦ, ὅπως προστατεύωσι τοὺς ἀρχαίους νόμους, ὅταν ἐπροτείνετο ἡ κατάργησις ἢ ἡ τροποποίησις αὐτῶν ὑπὸ τῶν Νομοθετῶν ἢ τῶν πολιτῶν (γ), τοὺς *περιστιάρχους*, οἵτινες ἐξήγνιζον τοὺς χώ-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

---

διὰ κλήρου μεταξὺ τῶν πεντήκοντα πρυτάνεων, καὶ προήδρευε τῆς Βουλῆς, καὶ τῆς Ἐκκλησίας τοῦ Δήμου, ἐὰν συνέπιπτε νὰ συνέλθῃ αὕτη κατὰ τὴν αὐτὴν ἡμέραν (*Ξενοφ. Ἀπομνημ. Α'. 1, 18, Πλάτων. Γοργ. 474, Ἀριστοτ. Ἀθην. Πολιτ. 44, 2 καὶ 3*).

430. *Αἰσχίν. Τιμάρχ. 23, Δεινάρχ. Ἀριστογ. 14.*

431. α) Καὶ ἐπειδὴ ἐν τῷ διαχειροτονεῖν ἦν ἡ βουλὴ πότερα δικαστηρίῳ παραδοίη ἢ ζημιώσειε ταῖς πεντακοσίαις, ὅσου ἦν κυρία κατὰ τὸν νόμον (*Δημοσθ. Εὐέργ. Μνησιβ. 43*). — Οὗτος γὰρ (ἐνν. ὁ νόμος), ὦ ἄνδρες δικασταί, οὐκ ἐπὶ τοῖς κεκριμένοις καὶ ἠγωνισμένοις κεῖται, ἀλλ' ἐπὶ τοῖς ἀκρίτοις, ἵνα μη διὰ τὸ δεδέσθαι χεῖρον ἀναγκάζοιντο ἀγωνίζεσθαι ἢ καὶ παντάπασιν ἀπαράσκευοι εἶεν (*Δημοσθ. Τιμοκρ. 144, 145*). — β) *Ἀριστοτ. Ἀθην. Πολιτ. 54. 4.* — γ) Ἡ βουλὴ δὲν ἠδύνατο νὰ συζητήσῃ ἐκ νέου ἐπὶ θέματος ἀποφασισθέντος (*Θουκυδ. δημηγορία Νικίου VII. 14*).

432. α) *Ἀριστοτ. Ἀθην. Πολιτ. 55, 2.* — β) *Σουΐδα, λ. ῥήτωρ.* — Δὲν ἠδύναντο νὰ εἶναι ῥήτορες οἱ ἑταιρηκότες. Οὔτε ἠδύναντο νὰ ἀσκήσουν γραφὴν κατά τινος (Αἰσχίν. Τιμάρχ. ὑπόθ.). — γ) *Ἢ συνήγοροι*. Αἱρεῖσθαι δὲ καὶ τοὺς συναπολογησομένους τὸν δῆμον τοῖς νόμοις, οἳ ἂν ἐν τοῖς νομοθέταις λύωνται, πέντε ἄνδρας ἐξ Ἀθηναίων ἁπάντων, τῇ ἑνδεκάτῃ τοῦ

Ακαδημία Αθηνών / Academy of Athens



ους τῶν συνελεύσεων (δ), *τοὺς τριάκοντα ἓξ ληξιάρχους*, οἵτινες ἐτήρουν κατάλογον τῶν ἐμφανιζομένων ἢ ἀπουσιαζόντων ἐν ταῖς συνελεύσεσι(ε), *τοὺς τριάκοντα προβούλους ἢ συγγραφεῖς*, οἵτινες ὑποχρεοῦντο διὰ τῶν συγγραφῶν των νὰ συμβάλωσιν εἰς τὴν ἀνάπτυξιν καὶ σωτηρίαν τῆς πόλεως (στ).

433. Πρὸς δέ, ἡ βουλὴ κληροῖ, *τοὺς ἀγορανόμους* (α), *τοὺς σιτοφύλακας* (β), τοὺς *ἐπιμελητὰς τοῦ ἐμπορίου* (γ), τοὺς *μετρονόμους* (δ), τοὺς *γραμματεῖς* (ε), τὸν *ἀντιγραφέα* (στ), τοὺς *ἱεροποιοὺς* (ζ), τοὺς *ἐπισκευαστὰς ἱερῶν* (η), τοὺς *ἀστυνό-*

---

ἑκατομβαιῶνος μηνὸς (*Δημοσθ. Τιμοκρ. 23*). — δ) Ἐκαλεῖτο οὕτω ὡς προπορευόμενος τῶν περιστίων, ἤτοι τῶν καθαρσίων μέσων (*Σουΐδα λ. περιεστίαρχος, Ἀριστοφ. Ἐκκλησ. 128.*). — ε) Ἓξ καθίσταντο τῶν πολιτῶν ἐγγεγραμμένων ἐν λευκώματι, καὶ τριάκοντα ἀνδρῶν αὐτοῖς προσαιρεθέντων τοὺς μὴ ἐκκλησιάζοντας ἐξήταζον καὶ τοὺς μὴ ἐκκλησιάζοντας ἐζημίουν καὶ σχοινίον μιλτώσαντες διὰ τῶν τοξοτῶν συνήλαυνον τοὺς ἐκ τῆς ἀγορᾶς εἰς τὴν ἐκκλησίαν (*Πολυδ. Η. 104, Ἀριστοφ. Ἀχαρν. 22*). — στ) *Ψήφισμα Πυθοδώρου.* Τὸν δῆμον ἑλέσθαι μετὰ τῶν προϋπαρχόντων δέκα προβούλων ἄλλους εἴκοσιν ἐκ τῶν ὑπὲρ τετταράκοντα ἔτη γεγονότων, οἵτινες ὀμόσαντες ἦ μὴν συγγράψειν ἃ ἂν ἡγῶνται βέλτιστα εἶναι τῇ πόλει συγγράψουσι περὶ τῆς σωτηρίας· ἐξεῖναι δὲ καὶ τῶν ἄλλων τῷ βουλομένῳ γράφειν, ἵν' ἐξ ἁπάντων αἱρῶνται τὸ ἄριστον...... τοὺς πατρίους νόμους οὓς Κλεισθένης ἔθηκεν ὅτε καθίστη τὴν δημοκρατίαν (*Ἀριστοτ. Ἀθην. Πολιτ. 29, 2, Θουκυδ. Η. 1 καὶ 67*). Εἰς τούτους ἀνετίθετο καὶ ἡ ἀποστολὴ ἐκτὸς τῶν Ἀθηνῶν δι' ὑποθέσεις ἐμπιστευτικὰς (*Πλουτ. Ἀριστείδ. 21, Ἡροδότ. ΣΤ', 7, Ζ'. 172, κ.λπ.*).

433. α) *Ἀγορανόμοι.* Πέντε μὲν εἰς Πειραιέα, πέντε δ' εἰς ἄστυ. τούτοις δὲ ὑπὸ τῶν νόμων προστέτακται τῶν ὠνίων ἐπιμελεῖσθαι πάντων, ὅπως καθαρὰ καὶ ἀκίβδηλα πωλήσεται (*Ἀριστοτ. Ἀθην. Πολιτ. 50, 2*). — Οὗτοι ἐκληροῦντο ἀνὰ εἷς ἐξ ἑκάστης φυλῆς (*Δημοσθ. Τιμοκρ. 112*), εἰσέπραττον τὸ ξενικὸν τέλος, ὅπερ κατέβαλλον οἱ ξένοι καὶ οἱ μέτοικοι, ἵνα τοῖς ἐπιτρέπηται ἡ ἔκθεσις ἐμπορευμάτων ἐν τῇ ἀγορᾷ (*Πλάτων. Νόμοι 917 - 8*). — β) *Σιτοφύλακες* Οὗτοι ἦσαν κληρωτοί, πέντε μὲν εἰς Πειραιέα, πέντε δ' εἰς ἄστυ, νῦν δ' εἴκοσι μὲν εἰς ἄστυ, πεντεκαίδεκα δ' εἰς Πειραιέα. οὗτοι δ' ἐπιμελοῦνται πρῶτον μὲν ὅπως ὁ ἐν ἀγορᾷ σῖτος ἀργὸς ὤνιος ἔσται δικαίως (*Λυσίου — Σιτοπ. 2 καὶ 3*), ἔπειθ' ὅπως οἵ τε μυλωθροὶ πρὸς τὰς τιμὰς τῶν κριθῶν τὰ ἄλφιτα πωλήσουσιν, καὶ οἱ ἀρτοπῶλαι πρὸς τὰς τιμὰς τῶν πυρῶν τοὺς ἄρτους καὶ τὸν σταθμὸν ἄγοντας ὅσον ἂν οὗτοι τάξωσιν· ὁ γὰρ νόμος τούτους κελεύει τάττειν (*Ἀριστοτ. Ἀθην. Πολιτ. 51. 3, Δημοσθ. Λεπτίν. 32, Ἁρποκρ. σιτοφύλακες*). Καὶ *σιτῶναι* τρεῖς ἐχειροτονοῦντο οἵτινες ἐπεμελοῦντο τὴν ἀγορὰν σίτου εἰς ἐκτάκτους περιστάσεις (*Λυσίου — Σιτοπ. 3*). — γ) *Ἐμπορίου δ' ἐπιμελητὰς* δέκα κληροῦσιν· τούτοις δὲ προστέτακται τῶν τ' ἐμπορίων ἐπιμελεῖσθαι καὶ τοῦ σίτου τοῦ καταπλέοντος εἰς τὸ σιτικὸν ἐμπόριον τὰ δύο μέρη τοὺς ἐμπόρους ἀναγκάζειν εἰς τὸ ἄστυ κομίζειν (*Ἀριστοτ. Ἀθην. Πολιτ. 51. 4, Δημοσθ. Λάκρ. 51, Θεοκρ. 8, Δεινάρχ. Ἀριστ. 10*). — δ) *Μετρονόμοι.* Κληροῦνται ⟨ῑ⟩, πέντε μὲν εἰς ἄστυ, ε̄ δὲ εἰς Πειραιέα· καὶ οὗτοι τῶν μέτρων καὶ τῶν σταθμῶν ἐπιμελοῦνται πάντων, ὅπως οἱ πωλοῦντες χρήσονται δικαίοις (*Ἀριστοτ. Ἀθην. Πολιτ. 51. 2*), κατ' ἄλλην γνώμην ἦσαν οὗτοι 15 ἐν Πειραιεῖ καὶ 9 ἐν τῇ πόλει (*Ἁρποκρ. μετρονόμοι*). — ε) Ἴδε ἀνωτέρω θέμα 427. — στ) Ἴδε ἀνωτέρω θέμα 427. —

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



*μους* (θ), τὸν *εἰς Σαλαμῖνα Ἄρχοντα* (ι), τὸν *ἐν Πειραιεῖ Δήμαρχον* (ια), τοὺς *Ἕνδεκα* (ιβ), τοὺς *εἰσαγωγεῖς δικῶν* (ιγ), τοὺς *τεσσαράκοντα* (ιδ), τοὺς *διαιτητὰς* (ιε), τοὺς *ὁδοποιοὺς* (ιστ), τοὺς *ἀρρητοποιοὺς* (ιζ).

---

ζ) *Ἱεροποιοί,* ἤτοι οἱ κληρούμενοι κατ' ἔτος δέκα ἱεροθύται, οἵτινες ἔθυον θυσίας τὰς πεντετηρίδας, πλὴν τῶν Παναθηναίων (*Πολυδ. Η. 107, Ἀριστοτ. Ἀθην. Πολιτ. 54. 6, Φωτίου, ἱεροποιοί*), καὶ ὧν ἐτιμῶντο περισσότερον οἱ ψηφιζόμενοι διὰ τὰς θυσίας πρὸς τὰς σεμνὰς θεὰς (*Δημοσθ. Μειδ. 115*). — η) *Ἐπισκευασταὶ ἱερῶν,* ἤτοι οἱ προετοιμάζοντες τὰς πομπὰς (*Δημοσθ. Τιμοκρ. 186*). — θ) *Ἀστυνόμοι,* ὧν κληροῦνται πέντε ἐν Πειραιεῖ, καὶ πέντε ἐν Ἀθήναις, καὶ τάς τε αὐλητρίδας καὶ τὰς ψαλτρίας καὶ τὰς καθαριστρίας οὗτοι σκοποῦσιν, ὅπως μὴ πλείονος ἢ δυεῖν δραχμαῖς μισθωθήσονται, κἂν πλείους τὴν αὐτὴν σπουδάσωσι λαβεῖν οὗτοι διακληροῦσι καὶ τῷ λαχόντι μισθοῦσιν. καὶ ὅπως τῶν *κοπρολόγων* μηδεὶς ἐντὸς Ι σταδίων τοῦ τείχους καταβαλεῖ κόπρον ἐπιμελοῦνται· καὶ τὰς ὁδοὺς κωλύουσι κατοικοδομεῖν καὶ δρυφάκτους ὑπὲρ τῶν ὁδῶν ὑπερτείνειν καὶ ὀχετοὺς μετεώρους εἰς τὴν ὁδὸν ἔκρουν ἔχοντας ποιεῖν καὶ τὰς θυρίδας εἰς τὴν ὁδὸν ἀνοίγειν· καὶ τοὺς ἐν ταῖς ὁδοῖς ἀπογιγνομένους ἀναιροῦσιν, ἔχοντες δημοσίους ὑπηρέτας (*Ἀριστοτ. Ἀθην. Πολιτ. 50. 2, Πολιτ. ΣΤ'. 5, Πλάτων. Νομ. ΣΤ'. 7, Δημοσθ. Καλλικλ. προοίμ.*). Εἰς τούτους ἦτο ἀνατεθειμένη καὶ ἡ ἐπιτήρησις τῶν ἑτοιμορρόπων οἰκοδομημάτων. — ι) καὶ ια) *Σαλαμῖνος Ἄρχων, Πειραιῶς Δήμαρχος,* κληροῦσι δὲ τούτους, οἵ τά τε Διονύσια ποιοῦσιν ἑκατέρωθι καὶ χορηγοὺς καθιστᾶσιν· ἐν Σαλαμῖνι δὲ καὶ τοὔνομα τοῦ ἄρχοντος ἀναγράφεται (*Ἀριστοτ. Ἀθην. Πολιτ. 54, 8*). — ιβ) *Ἕνδεκα.* Ὧν οἱ δέκα ᾑροῦντο ἐξ ἑκάστης φυλῆς κλήρῳ, ὁ δὲ εἷς ᾑρεῖτο ἐπίσης ὡς γραμματεύς. Καθιστᾶσι δὲ καὶ τοὺς ἕνδεκα κλήρῳ τοὺς ἐπιμελησομένους τῶν ἐν τῷ δεσμωτηρίῳ, καὶ τοὺς ἀπαγομένους κλέπτας καὶ τοὺς ἀνδραποδιστὰς καὶ τοὺς λωποδύτας, ἂν μὲν [ὁμολογῶ]σι, θανάτῳ ζημιώσοντας, ἂν δ' ἀμφισβητῶσιν, εἰσάξοντας εἰς τὸ δικαστήριον, κἂν μὲν ἀποφύγωσιν, ἀφήσοντας, εἰ δὲ μή, τότε θανατώσοντας, καὶ τὰ ἀπογραφόμενα χωρία καὶ οἰκίας εἰσάξοντας εἰς τὸ δικαστήριον, καὶ τὰ δόξαντα δημόσια εἶναι παραδώσοντας τοῖς πωληταῖς, καὶ τὰς ἐνδείξεις εἰσάξοντας· καὶ γὰρ ταύτας εἰσάγουσιν οἱ ἕνδεκα. εἰσάγουσι δέ τῶν ἐνδείξεών τινας καὶ οἱ θεσμοθέται (*Ἀριστοτ. Ἀθην. Πολιτ. 52. 1*). Ὁ καταδικαζόμενος εἰς θάνατον παρεδίδετο αὐτοῖς (*Ξενοφ. Ἑλλην. Β'. 3, 54*), οἵτινες διὰ τοῦ κωνείου, διδομένου μετὰ τὴν δύσιν τοῦ ἡλίου προεκάλουν τὸν θάνατον (*Πλάτων. Φαίδων 65 - 6*). Ἐκαλοῦντο καὶ δημόκοινοι (*Ἀντιφῶν. Φαρμακ. 20*), καὶ ἐπιμεληταὶ τῶν κακούργων (*Ἀντιφῶντος — Ἡρώδ. 17*), ἐπέβλεπον δὲ οὗτοι, ἢ διὰ τοῦ ὑπηρέτου των τὰς ἐν δίκαις βασάνους (*Δημοσθ. Νικόστρ. 23 ἐπ.*), καὶ ἐπὶ συνοπτικῶν δικῶν, οἷαι, ἡ ἀπαγωγή, ἡ ἐφήγησις, ἡ ἔνδειξις, ὧν αἱ ποιναὶ εἶχον καθορισθῇ διὰ νόμου, εἶχον τὴν ἡγεμονίαν τῶν δικαστηρίων, ἄνευ παρεμβάσεως τούτων, ταὐτὸν καὶ ἐπὶ δημεύσεως περιουσιῶν. — ιγ) *Εἰσαγωγεῖς δικῶν.* Κληροῦσι δὲ καὶ εἰσαγωγέας ε̄ ἄνδρας, οἳ τὰς ἐμμήνους εἰσάγουσι δίκας, δυοῖν φυλαῖν ἕκαστος. εἰσὶ δ' *ἔμμηνοι* προικός, ἐάν τις ὀφείλων μὴ ἀποδῷ, κἄν τις ἐπὶ δραχμῇ δανεισάμενος ἀποστερῇ, κἄν τιν ἐν ἀγορᾷ βουλόμενος ἐργάζεσθαι δανείσηται παρά τινος ἀφορμήν· ἔτι δ' αἰκείας καὶ ἐρανικαὶ καὶ κοινωνικαὶ καὶ ἀνδραπόδων καὶ ὑποζυγίων καὶ τριηραρχικαὶ καὶ τραπεζιτικαί. οὗτοι μὲν οὖν ταύτας δικάζουσιν ἐμμήνους εἰσάγοντες, οἱ δ' ἀποδέκται τοῖς τελώναις καὶ κατὰ τῶν τελωνῶν, τὰ μὲν μέχρι δέκα δραχμῶν ὄντες κύριοι, τὰ δ' ἄλλ' εἰς τὸ δικαστήριον εἰσάγοντες ἔμμηνα (*Ἀριστοτ. Ἀθην. Πολιτ. 52. 2, Πολυδ. Η. 101, Δημοσθ. Πανταίν. 35 ἐπ.*). — ιδ) *Τεσσαράκον-*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



τα. Κληροῦσι δὲ καὶ ⟨τοὺς⟩ τετταράκοντα, τέτταρας ἐκ τῆς φυλῆς ἑκάστης, πρὸς οὓς τὰς ἄλλας δίκας λαγχάνουσιν· οἳ πρότερον μὲν ἦσαν τριάκοντα καὶ κατὰ δήμους περιόντες ἐδίκαζον, μετὰ δὲ τὴν ἐπὶ τῶν τριάκοντα ὀλιγαρχίαν τετταράκοντα γεγόνασιν. καὶ τὰ μὲν μέχρι δέκα δραχμῶν αὐτοτελεῖς εἰσι δ[ικ]άζειν, τὰ δ' ὑπὲρ τοῦτο τὸ τίμημα τοῖς διαιτηταῖς παραδιδόασιν. οἱ δὲ παραλαβόντες, ἐὰν μὴ δύνωνται διαλῦσαι, γιγνώσκουσι, κἂν μὲν ἀμφοτέροις ἀρέσκῃ τὰ γνωσθέντα καὶ ἐμμένωσιν, ἔχει τέλος ἡ δίκη. ἂν δ' ὁ ἕτερος ἐφῇ τῶν ἀντιδίκων εἰς τὸ δικαστήριον, ἐμβαλόντες τὰς μαρτυρίας καὶ τὰς προκλήσεις καὶ τοὺς νόμους εἰς ἐχίνους, χωρὶς μὲν τὰς τοῦ διώκοντος χωρὶς δὲ τὰς τοῦ φεύγοντος, καὶ τούτους κατασημηνάμενοι καὶ τὴν γνῶσιν τοῦ διαιτητοῦ γεγραμμένην ἐν γραμματείῳ προσαρτήσαντες παραδιδόασι τοῖς δ̅ τοῖς τὴν φυλὴν τοῦ φεύγοντος δικάζουσιν. οἱ δὲ παραλαβόντες εἰσάγουσιν εἰς τὸ δικαστήριον, τὰ μὲν ἐντὸς χιλίων εἰς ἕνα καὶ διακοσίους, τὰ δ' ὑπὲρ χιλίας εἰς ἕνα καὶ τετρακοσίους. οὐκ ἔξεστι δ' οὔτε νόμοις οὔτε προκλήσεσι οὔτε μαρτυρίαις ἀλλ' ἢ ταῖς παρὰ τοῦ διαιτητοῦ χρῆσθαι ταῖς εἰς τοὺς ἐχίνους ἐμβεβλημέναις (*Ἀριστοτ. Ἀθην. Πολιτ. 53. 1, Πολυδ. Η. 100, Δημοσθ. Τιμοκρ. 112, Ἀριστοτ. Πολιτ. Δ'. 13. 2, Δημοσθ. Πανταίν. 33*). Οὗτοι περιφέροντο εἰς τοὺς δήμους τῆς Ἀττικῆς, ἐπεῖχον δὲ θέσιν εἰρηνοδικῶν, ἐνήργουν καὶ ὡς εἰσαγωγεῖς καὶ ὡς δικασταί. — Ἴδε καὶ κατωτέρω σημείωσιν. — ιε) *Διαιτηταί*. Οὗτοι δ' εἰσὶν οἷς ἂν ἑξηκοστὸν ἔτος ᾖ· τοῦτο δὲ δῆλον ἐκ τῶν ἀρχόντων καὶ τῶν ἐπωνύμων. εἰσὶ γὰρ ἐπώνυμοι δέκα μὲν οἱ τῶν φυλῶν, δύο δὲ καὶ τετταράκοντα οἱ τῶν ἡλικιῶν· οἱ δὲ ἔφηβοι ἐγγραφόμενοι πρότερον μὲν εἰς λελευκωμένα γραμματεῖα ἐνεγράφοντο, καὶ ἐπεγράφοντο αὐτοῖς ὅ τ' ἄρχων ἐφ' οὗ ἐνεγράφησαν καὶ ὁ ἐπώνυμος ὁ τῷ προτέρῳ ἔτει δεδιαιτηκώς· νῦν δ' εἰς στήλην χαλκῆν ἀναγράφονται, καὶ ἵσταται ἡ στήλη πρὸ τοῦ βουλευτηρίου παρὰ τοὺς ἐπωνύμους. τὸν δὲ τελευταῖον τῶν ἐπωνύμων λαβόντες οἱ τετταράκοντα διανέμουσιν αὐτοῖς τὰς διαίτας καὶ ἐπικληροῦσιν ἃς ἕκαστος διαιτήσει· καὶ ἀναγκαῖον ἃς ἂν ἕκαστος λάχῃ διαίτας ἐκδιαιτᾶν. ὁ γὰρ νόμος, ἄν τις μὴ γένηται διαιτητὴς τῆς ἡλικίας αὐτῷ καθηκούσης, ἄτιμον εἶναι κελεύει, πλὴν ἐὰν τύχῃ ἀρχὴν ἄρχων τινὰ ἐν ἐκείνῳ τῷ ἐνιαυτῷ ἢ ἀποδημῶν· οὗτοι δ' ἀτελεῖς εἰσὶ μόνοι. ἔστιν δὲ καὶ εἰσαγγέλλειν εἰς τοὺς διαιτητάς, ἐάν τις ἀδικηθῇ ὑπὸ τοῦ διαιτητοῦ, κἄν τινος καταγνῶσιν, ἀτιμοῦσθαι κελεύουσιν οἱ νόμοι· ἔφεσις δ' ἔστι καὶ τούτοις. χρῶνται δὲ τοῖς ἐπωνύμοις καὶ πρὸς τὰς στρατείας, καὶ ὅταν ἡλικίαν ἐκπέμπωσι προγράφουσιν ἀπὸ τίνος ἄρχοντος καὶ ἐπωνύμου μέχρι τίνων δεῖ στρατεύεσθαι (*Ἀριστοτ. Ἀθην. Πολιτ. 53. 4*). Ἑκάστη φυλὴ εἶχεν ἴδιον διαιτητὴν (*Δημοσθ. Εὐεργ. Μνησιβ. 12, Λυσ. Παγκλ. 3*), ἐπὶ ἔτος, πιθανώτερον, ἀσκοῦντα τὴν ἐξουσίαν αὐτὴν (*Δημοσθ. Μειδ. 86*), ἕκαστος τούτων ὡρκίζετο μόνον ἐφ' ἑκάστης ἀνατιθεμένης αὐτῷ δίκης (*Δημοσθ. Καλλιππ. 30, Ἰσαίου — Δικαιογ. 32*), καὶ ἐπληρώνετο ἀνὰ δραχμὴν (παράστασιν καλουμένην) ὑπὸ τῶν διαδίκων (*Δημοσθ. Τιμόθ. 19, Πολυδ. Η. 127*), ἦτο ὑπεύθυνος ἔναντι τοῦ ἀδικηθέντος διαδίκου, δυναμένου νὰ καταγγείλῃ αὐτὸν (*Δημοσθ. Μειδ. 87*). Πάλαι πᾶσα δίκη ἔδει προηγουμένως νὰ ὑποβληθῇ εἰς διαιτητήν, βραδύτερον ὅμως τοῦτο ἐξηρτᾶτο ἐκ τῆς θελήσεως τῶν διαδίκων (*Δημοσθ. Ἀνδροτ. 27*, ἴδε καὶ θέμα 294). — Ἴδε εἰς βιβλίον 12 τοῦ παρόντος δικονομικὰς διατάξεις. — ιστ) *Ὁδοποιοί*. Κληροῦσιν ὁδοποιοὺς πέντε, οἷς προστέτακται δημοσίους ἐργάτας ἔχουσι τὰς ὁδοὺς ἐπισκευάζειν (*Ἀριστοτ. Ἀθην.* Πολιτ. *54. 1, Αἰσχίν. Κτησιφ. 25*). — ιζ) *Ἀρρητοποιοί*. Ἤτοι, ὁ ἱεροφάντης, ὁ δᾳδοῦχος, ὁ ἱεροκήρυξ, ὁ θύτης καὶ οἱ περὶ τὰ μυστηριώδη τῶν πομπῶν ἀπασχολούμενοι ἱερεῖς, οἵτινες διῃτῶντο εἰς τὸν Παρθενῶνα, καὶ ἐσιτίζοντο εἰς τὸ Πρυτανεῖον (*Παυσαν. Α. 27. 4*).

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



434. Κληροῦσι δὲ καὶ *ἀθλοθέτας* δέκα ἄνδρας, ἕνα τῆς φυλῆς ἑκάστης. οὗτοι δὲ δοκιμασθέντες ἄρχουσι τέτταρα ἔτη, καὶ διοικοῦσι τήν τε πομπὴν τῶν *Παναθηναίων* καὶ τῶν ἀγῶνα τῆς *μουσικῆς* καὶ τὸν *γυμνικὸν* ἀγῶνα καὶ τὴν *ἱπποδρομίαν*, καὶ τὸν *πέπλον* ποιοῦνται, καὶ τοὺς *ἀμφορεῖς* ποιοῦνται μετὰ τῆς βουλῆς, καὶ τὸ *ἔλαιον* τοῖς ἀθληταῖς ἀποδιδόασι.

435. Δοκιμάζει τοὺς ἵππους ἡ βουλὴ διὰ τῶν *καταλογέων* (α), ἐπιμελεῖται ἡ αὐτὴ τῶν *τριήρων* καὶ τῶν *σκευῶν* καὶ τῶν *νεωσοίκων* (β), ἐξετάζει τὰ *δημόσια οἰκοδομήματα* (γ), συνεπιμελεῖται μετὰ τοῦ ταμίου τῶν Στρατιωτικῶν τὰ τῆς *ἑορτῆς τῶν Παναθηναίων* (δ).

436. Ἐξεῖναι δὲ καὶ ἰδιώτῃ τῷ βουλομένῳ εἰσιόντι εἰς τὴν βουλήν, συμβουλεύειν ὅ τι ἂν ἀγαθὸν ἔχῃ περὶ τῶν νόμων.

437. Ἐὰν δέ τις ἱκετεύῃ ἐν τῇ βουλῇ ἢ ἐν τῷ δήμῳ περὶ ὧν δικαστήριον ἢ ἡ βουλὴ ἢ ὁ δῆμος κατέγνω, ἐὰν μὲν αὐτὸς ὀφλὼν ἱκετεύῃ πρὶν ἐκτῖσαι, ἔνδειξιν εἶναι αὐτοῦ, καθάπερ ἐάν τις ὀφείλων τῷ δημοσίῳ ἡλιάζηται· ἐὰν δ' ἄλλος ὑπὲρ τοῦ ὠφληκότος ἱκετεύῃ πρὶν ἐκτῖσαι, δημοσία ἔστω αὐτοῦ ἡ οὐσία πᾶσα. ἐὰν δέ τις τῶν προέδρων δῷ τινὶ τὴν ἐπιχειροτονίαν, ἢ αὐτῷ τῷ ὠφληκότι ἢ ἄλλῳ ὑπὲρ ἐκείνου, πρὶν ἐκτῖσαι, ἄτιμος ἔστω.

438. Ἠδύνατο ἡ Βουλὴ νὰ προικίσῃ τὰς θυγατέρας διασήμων Ἀθηναίων (α), καὶ νὰ συντρέχῃ τοὺς οἰκονομικῶς πάσχοντας, τοὺς *ἀδυνάτους* (β).

439. Τὴν Βουλὴν ποιεῖν τριήρεις καινὰς (α).—Ἐὰν ἀξίως ἡ βουλὴ δοκῇ βουλεῦσαι, διδόναι τὸν δῆμον δωρεὰν αὐτῇ (β).—Τὴν ποιήσασαν τὰς τριήρεις αἰτεῖν τὴν δωρεάν, τὴν μὴ ποιήσασαν μὴ αἰτεῖν (γ).

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

---

434. *Ἀριστοτ. Ἀθην. Πολιτ. 60. 1.* — Ἐκαλοῦντο καὶ ἀγωνοδίκαι, καὶ ραβδοῦχοι.

435. α) Τοὺς δ' ἱππέας καταλέγουσι μὲν οἱ καταλογεῖς, οὓς ἂν ὁ δῆμος χειροτονήσῃ δέκα ἄνδρας ...... μὴ δυνατοὺς εἶναι τοῖς σώμασιν ἱππεύειν ἐξαλείφουσι....κἂν μέν τις ἐξομόσηται μὴ δύνασθαι τῷ σώματι ἱππεύειν ἢ τῇ οὐσίᾳ, τοῦτον ἀφιᾶσιν (*Ἀριστοτ. Ἀθην. Πολιτ. 49. 1, Ξενοφ. Ἑλλην. Β. 3. 20, Δημοσθ. Πολυκλ. 6*). — β) *Ἀριστοτ. Ἀθην. Πολιτ. 46. 1.* — γ) *Ἀριστοτ. αὐτόθι.* — δ) *Ἀριστοτ. Ἀθην. Πολιτ. 49. 3.*

436. Ἀνδοκίδ. Μυστηρ. 84 - 3.

437. *Δημοσθ. Τιμοκρ. 50.* — *Ἀνάλογος ν. 6 Π. 1. 18 καὶ ν. 131, 244 Π. 50. 16.*

438. α) *Πλουτ. Ἀριστ. XXVII.* — β) Δοκιμάζει δὲ καὶ τοὺς ἀδυνάτους ἡ βουλή· νόμος γάρ ἐστιν ὃς κελεύει τοὺς ἐντὸς τριῶν μνῶν κεκτημένους καὶ τὸ σῶμα πεπηρωμένους ὥστε μὴ δύνασθαι μηδὲν ἔργον ἐργάζεσθαι, δοκιμάζειν μὲν τὴν βουλήν, διδόναι δὲ δημοσίαν τροφὴν δύο ὀβολοὺς ἑκάστῳ τῆς ἡμέρας. καὶ ταμίας ἐστὶν αὐτοῖς κληρωτὸς (*Ἀριστοτ. Ἀθην. Πολιτ. 49. 4, Λυσίου — Ἀδυνάτου, Ὑπερείδ. Λυκόφρ. IX.*).

439. α) Ἔθος ἦν τὴν βουλὴν τῶν πεντακοσίων λαμβάνουσαν χρήματα ἀπὸ τοῦ δήμου (ἢ τῶν εὐπορωτέρων), καινὰς ποιεῖν τριήρεις (*Οὐλπιαν. ἐπὶ Δημ., Ἀριστοτ. Ἀθην. Πολιτ. 46. 1*). — β) *Δημοσθ. Ἀνδροτ. 5.* γ) *Λιβάνιος, Δημοσθ. Ἀνδροτ. ὑπόθ.*).

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



440. Ἂν ἡ Βουλὴ ἄγῃ τὰ Ἀπατούρια (α) μετὰ τῶν ἄλλων Ἀθηναίων κατὰ τὰ πάτρια, ἐψηφίσθαι τῇ βουλῇ ἀφεῖσθαι τοὺς βουλευτὰς τὰς ἡμέρας, ὥσπερ καὶ αἱ ἄλλαι βουλαὶ διαφίενται, ἀπὸ τῆς ἡμέρας, ἀφ' ἧς οἱ Προτένθαι (β) ἄγουσι πέντε ἡμέρας.

441. Τὴν βουλὴν τῇ ὑστεραίᾳ τῶν μυστηρίων ἕδραν ποιεῖν ἐν τῷ Ἐλευσινίῳ.

442. Ταύτην ὑπεύθυνον εἶναι.

443. *Σίτησις*. Οἱ πρυτανεύοντες συσσιτοῦσιν ἐν τῷ θόλῳ, λαμβάνοντες ἀργύριον παρὰ τῆς πόλεως (α), ὁ Ἐπιστάτης (β), οἱ Ἄρχοντες (γ), οἱ ἀθλοθέται (δ), διάφοροι ὑπάλληλοι, οἷον οἱ ἀρρητοποιοί, οἱ ἱερεῖς, οἱ ὑπογραμματεῖς (ε), οἱ ξένοι Πρέσβεις (στ) καὶ οἱ διὰ πρᾶξίν τινα σιτήσεως ἀξιωθέντες (ζ). Σίτησιν ἐν τῷ Πρυτανείῳ ἀντεπρόβαλεν ὁ Σωκράτης ὡς ἀντιτίμημα, εἰς τὸ παρὰ τοῦ Μελήτου προβληθὲν τίμημα καὶ ἄλλοι τινές.

444. *Μισθός*. 1) Ὁ δῆμος μισθοφορεῖ τοὺς ἐκκλησιάζοντας ταῖς μὲν ἄλλαις ἐκκλησίαις δραχμήν, τῇ δὲ κυρίᾳ ἐννέα ⟨ὀβολούς⟩, 2) τὰ δικαστήρια τρεῖς ὀβολούς, 3) ἡ βουλὴ πέντε ὀβολούς, 4) τοῖς δὲ πρυτανεύουσιν εἰς σίτησιν ὀβολὸς προστίθεται [[δέκα προστίθενται]], 5) ὁ Ἄρχων εἰς Σαλαμῖνα δραχμὴν τῆς ἡμέρας, 6) οἱ ἀμφικτύονες εἰς Δῆλον δραχμὴν τῆς ἡμέρας ἑκάστης ἐκ Δήλου ⟨λαμβάνουσι⟩, 7) αἱ ἀποστελλόμεναι ἀρχαὶ εἰς Σάμον ἢ Σκῦρον ἢ Λῆμνον ἢ Ἴμβρον εἰς σίτησιν ἀργύριον.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

445. *Ἐπιστάτης*. Ἔστι δ' ἐπιστάτης τῶν πρυτάνεων εἷς ὁ λαχών· οὗτος δ' ἐπιστατεῖ νύκτα καὶ ἡμέραν, καὶ οὐκ ἔστιν οὔτε πλείω χρόνον οὔτε δὶς τὸν αὐτὸν

---

440. α) Ἀπατούρια, ἑορτὴ Ἀθήνησιν ἐπὶ τέσσαρας ἡμέρας· ὧν ἡ πρώτη *Δορπία* ἐκαλεῖτο, ἡ δευτέρα *Ἀνάρρυσις*, ἡ τρίτη *Κουρεῶτις* καὶ ἡ τετάρτη *Ἐπίβδα* (*Ἡσύχιος*, *Ἀριστοφ. Ἀχαρν. 134, Πλάτων. Τίμαιος 21*). Κατὰ τὴν Κουρεώτιδα εἰσήγοντο εἰς τὴν φρατρίαν τὰ τέκνα τῶν μελῶν αὐτῆς, καὶ ἐγένετο διαδικασία περὶ τῆς γνησιότητος αὐτῶν (*Ἰσαίου — Κίρωνος 18, Δημοσθ. Εὐβουλ. 54, Μακάρτ. 11, 81, Πλάτων. Τίμαιος 21*). — β) Σύστημά τι οἱ Προτένθαι εἰσί, καθάπερ καὶ οἱ παράσιτοι ὀνομαζόμενοι (*Ἡσύχιος*).

441. *Ἀνδοκίδ. Μυστηρ. 111.*

442. *Αἰσχίν. Κτησιφ. 235, 6 ἑπ.*

443. α) Εἰς τὸ Πρυτανεῖον, ἔνθα διετηρεῖτο ὁ ἄσβεστος λύχνος, ἐξ οὗ ἐλάμβανον πῦρ οἱ εἰς ἀποικίας ἀπερχόμενοι (*Στράβων. Θ. 416, Πολυβ. Α. 7*), ἔθυον οἱ Πρυτάνεις καὶ συνέτρωγον (*Δημοσθ. Παραπρεσβ. 400, Πλουτ. Κίμων 1, Ἀριστοτ. Ἀθην. Πολιτ. 43. 2, 62. 2*). — β) Ἴδε θέμα 445. — γ) *Ἀριστοφ. Ἀχαρν. 125.* — δ) Ἀθλοθέται δ' ἐν Πρυτανείῳ δειπνοῦσι τὸν Ἑκατομβαιῶνα μῆνα, ὅταν ᾖ τὰ Παναθήναια (*Ἀριστοτ. Ἀθην. Πολιτ. 62.* — ε) Ἴδε σημείωσιν ιζ τοῦ θέματος 433.— στ) *Πολυδ. Θ. 40, Ἀριστοφ. Ἀχαρν. 125.* — ζ) Καὶ οἱ διὰ πρᾶξίν τινα σιτήσεως ἀξιωθέντες, καὶ εἴ τις ἐκ τιμῆς ἀείσιτος ἦν (*Πολυδ. Θ. 40*).

444. *Ἀριστοτ. Ἀθην. Πολιτ. 62. 1.*

445. α) *Ἀριστοτ. Ἀθην. Πολιτ. 44. 1.* — β) Ἀριστοτ. αὐτόθι.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



γενέσθαι. τηρεῖ δ' οὗτος τάς τε κλεῖς τὰς τῶν ἱερῶν, ἐν οἷς τὰ χρήματ' ἐστιν καὶ ⟨τὰ⟩ γράμματα τῇ πόλει, καὶ τὴν δημοσίαν σφραγῖδα. Ἐπιστατεῖ οὗτος ἐν μιᾷ μόνῃ ἡμέρᾳ, ἵνα μὴ ἐρασθῇ τυραννίδος (α), καὶ μένειν ἀναγκαῖον ἐν τῷ θόλῳ τοῦτόν ἐστιν καὶ τριττὺν τῶν πρυτάνεων ἣν ἂν οὗτος κελεύῃ (β).

446. *Πρόεδροι.* Οἱ ἐξ ἑκάστης φυλῆς ἐκλεγόμενοι, οἵτινες ἐκαλοῦντο ἐπιψηφίζοντες.

447. *Πρυτάνεις.* Ἐκαλοῦντο οἱ ἐκλεγόμενοι ἐκ τῶν μὴ πρυτανευουσῶν φυλῶν.

## γ'. Ἐννέα ἄρχοντες

448. Ὁ πρῶτος τούτων ἐκαλεῖτο *ἐπώνυμος*, ὁ δεύτερος *βασιλεύς*, ὁ τρίτος *πολέμαρχος* καὶ οἱ ἄλλοι ἓξ *θεσμοθέται*, παρ' οἷς καὶ γραμματεύς.

449. *Δοκιμασία τούτων.* Δοκιμάζονται δ' οὗτοι πρῶτον μὲν ἐν τῇ βουλῇ τοῖς φ πλὴν τοῦ γραμματέως, οὗτος δ' ἐν δικαστηρίῳ μόνον ὥσπερ καὶ ἄλλοι ἄρχοντες (πάντες γὰρ καὶ οἱ κληρωτοὶ καὶ οἱ χειροτονητοὶ δοκιμασθέντες ἄρχουσιν), οἱ δ' ἐννέα ἄρχοντες ἔν τε τῇ βουλῇ καὶ πάλιν ἐν δικαστηρίῳ. καὶ πρότερον μὲν οὐκ ἦρχεν ὅντιν' ἀποδοκιμάσειεν ἡ βουλή, νῦν δὲ ἔφεσίς ἐστιν εἰς τὸ δικαστήριον, καὶ τοῦτο κύριόν ἐστι τῆς δοκιμασίας.

450. Ἐπερωτῶσιν δ', ὅταν δοκιμάζωσιν, πρῶτον μὲν «τίς σοι πατὴρ καὶ πόθεν, τῶν δήμων, καὶ τίς πατρὸς πατήρ, καὶ τίς μήτηρ, καὶ τίς μητρὸς πατὴρ καὶ πόθεν τῶν δήμων;» μετὰ δὲ ταῦτα, εἰ ἔστιν αὐτῷ Ἀπόλλων πατρῷος καὶ Ζεὺς ἑρκεῖος,

---

446. Ἀριστοτ. *Ἀθην. Πολιτ. 44. 1.* — Προεδρεύειν δ' ἔξεστιν ἅπαξ ἐπὶ τῆς πρυτανείας ἑκάστης.

447. *Ἀριστοτ. Ἀθην. Πολιτ. 44. 2.*

448. Αἱ δὲ κληρωταὶ ἀρχαὶ πρότερον μὲν ἦσαν αἱ μὲν μετ' ἐννέα ἀρχόντων ἐκ τῆς φυλῆς ὅλης κληρούμεναι, αἱ δ' ἐν Θησείῳ κληρούμεναι διῃροῦντο εἰς τοὺς δήμους· ἐπειδὴ δ' ἐπώλουν οἱ δῆμοι, καὶ ταύτας ἐκ τῆς φυλῆς ὅλης κληροῦσι πλὴν βουλευτῶν καὶ φρουρῶν· τούτους δ' εἰς τοὺς δήμους ἀποδιδόασι (*Ἀριστοτ. Ἀθην. Πολιτ. 62. 1*). — Οἱ δὲ καλούμενοι ἐννέα ἄρχοντες τὸ μὲν ἐξ ἀρχῆς ὃν τρόπον καθίσταντο [εἴρ]ηται· [νῦν] δὲ κληροῦσιν θεσμοθέτας μὲν ἓξ καὶ γραμματέα τούτοις, ἔτι δ' ἄρχοντα καὶ βασιλέα καὶ πολέμαρχον κατὰ μέρος ἐξ ἑκάστης φυλῆς (*Ἀριστοτ. Ἀθην. Πολιτ. 55. 1*). — Ἐν ἀρχῇ οἱ ἄρχοντες ἐξελέγοντο ἐκ τοῦ οἴκου τῶν Μεντιδῶν, ἀπογόνων τοῦ Κόρδου, κατὰ τὸ 684 π.Χ., οὗτοι ἐξελέγοντο ἐκ τῶν Εὐπατριδῶν ἐν γένει, βραδύτερον ὁ Σόλων ἔταξεν ὅπως οὗτοι ἐκλέγονται μεταξὺ τῶν εὐπορωτέρων. Ἡ διὰ κλήρου ἐκλογὴ εἰσήχθη ὑπὸ τοῦ Κλεισθένους κατὰ τὸ 508 π.Χ., ἐπὶ Ἀριστείδου δὲ ἐξελέγοντο ἐκ πάντων τῶν Ἀθηναίων, ἄνευ διαστολῆς τινος (*Ἀριστοτ. Πολιτ. Β'. 9, Πλουτ. Ἀριστείδ. 1* καὶ *22, Σόλων. 18, Λυσίου — Ἀδυνάτ. 13*).

449. *Ἀριστοτ. Ἀθην. Πολιτ. 55. 2.*

450. *Ἀριστοτ. Ἀθην. Πολιτ. 55. 3, Δεινάρχ. Ἀριστογ. 17, Δημοσθ. Εὐβουλ. 70*).

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



καὶ ποῦ ταῦτα τὰ ἱερά ἐστιν, εἶτα ἠρία εἰ ἔστιν καὶ ποῦ ταῦτα, ἔπειτα γονέας εἰ εὖ ποιεῖ, καὶ τὰ τέλη ⟨εἰ⟩ τελεῖ, καὶ τὰς στρατείας εἰ ἐστράτευται. ταῦτα δ' ἀνερωτήσας «κάλει», φησιν, «τούτων τοὺς μάρτυρας».

451. Ἐπειδὰν δὲ παράσχηται τοὺς μάρτυρας, ἐπερωτᾷ *«τούτου βούλεταί τις κατηγορεῖν;»*, κἂν μὴ ᾖ τις κατήγορος, δοὺς κατηγορίαν καὶ ἀπολογίαν οὕτω δίδωσιν ἐν μὲν τῇ βουλῇ τὴν ἐπιχειροτονίαν, ἐν δὲ τῷ δικαστηρίῳ τὴν ψῆφον· ἐὰν δὲ μηδεὶς βούληται κατηγορεῖν, εὐθὺς δίδωσι τὴν ψῆφον· καὶ πρότερον μὲν εἷς ἐνέβαλλε τὴν ψῆφον, νῦν δ' ἀνάγκη πάντας ἐστὶ διαψηφίζεσθαι περὶ αὐτῶν, ἵνα, ἄν τις πονηρὸς ὢν ἀπαλλάξῃ τοὺς κατηγόρους, ἐπὶ τοῖς δικασταῖς γένηται τοῦτον ἀποδοκιμάσαι.

452. Δοκιμασθέν⟨τες⟩ δὲ τοῦτον τὸν τρόπον βαδίζουσι πρὸς τὸν λίθον ἐφ' οὗ τὰ τόμι' ἐστίν, ἐφ' οὗ καὶ οἱ διαιτηταὶ ὀμόσαντες ἀποφαίνονται τὰς διαίτας καὶ οἱ μάρτυρες ἐξόμνυνται τὰς μαρτυρίας.

453. *Ὅρκος*. Ἀναβάντες δ' ἐπὶ τοῦτον ὀμνύουσι δικαίως ἄρξειν καὶ κατὰ τοὺς νόμους, καὶ δῶρα μὴ λήψεσθαι τῆς ἀρχῆς ἕνεκα, κἄν τι λάβωσιν ἀνδριάντα ἀναθήσειν χρυσοῦν. ἐντεῦθεν δ' ὀμόσαντες εἰς ἀκρόπολιν βαδίζουσιν καὶ πάλιν ἐκεῖ ταὐτὰ ὀμνύουσι, καὶ μετὰ ταῦτ' εἰς τὴν ἀρχὴν εἰσέρχονται.

454. *Ἀνίκανοι*. Ἐάν τις Ἀθηναίων ἑταιρήσῃ, μὴ ἐξέστω αὐτῷ τῶν Ἐννέα Ἀρχόντων γενέσθαι (α). Τῷ Ἄρχοντι, ἂν μεθύων ληφθῇ, θάνατος ἡ ζημία (β). Τὴν τοῦ βασιλέως γυναῖκα ἀστὴν εἶναι, καὶ παρθένον γαμεῖν (γ).

455. *Πάρεδροι τῶν Ἀρχόντων — Ἐπιλαχόντες*. Λαμβάνουσι δὲ καὶ παρέδρους ὅ τ' ἄρχων καὶ ὁ βασιλεὺς καὶ ὁ πολέμαρχος δύο ἕκαστος οὓς ἂν βούληται, καὶ οὗτοι δοκιμάζονται ἐν τῷ δικαστηρίῳ πρὶν παρεδρεύειν, καὶ εὐθύνας διδόασιν ἐπὰν παρεδρεύσωσιν (α). Ἐκληροῦντο καὶ ἰσάριθμοι *ἐπιλαχόντες*.

455α. *Προνομίαι Ἀρχόντων*. Ἐξῃροῦντο τῆς τριηραρχίας καὶ τῶν εἰσφορῶν

---

451. *Ἀριστοτ. Ἀθην. Πολιτ. 55. 4.* Ἡ μὲν τῶν ἐκκλησιῶν κυρία, ἐν ᾗ τὰς ἀρχὰς ἐπιχειροτονοῦσιν, εἴπερ καλῶς ἄρχουσιν, ἢ ἀποχειροτονοῦσι (*Πολυδ. Η. 95, Δημοσθ. Θεοκρίν. 27, Ἁρποκρατ. κυρία ἐκκλησία*).

452. *Ἀριστοτ. Ἀθην. Πολιτ. 55. 5.*

453. *Ἀριστοτ. Ἀθην. Πολιτ. 55. 5, Πολυδ. Η. 86.*

454. α) *Αἰσχίν. Τιμάρχ. 21.* — β) *Διονυσ. Λαερτ. Σόλων IX.* — Ἴδε καὶ *ν. 6 § 6 Π. 49. 16.* — γ) Ἴδε ἀνωτέρω θέμα 87.

455. α) *Ἀριστοτ. Ἀθην. Πολιτ. 56. 1.* — β) Ἐὰν ὁ πρῶτος λαχὼν ἀποδοκιμασθῇ ἢ τελευτήσῃ, ἀντὶ ἐκείνου γένηται βουλευτὴς ἢ ἄρχων ὁ ἐπιλαχὼν αὐτῷ (*Ἁρποκρατ. λεξ. ἐπιλαχών, Αἰσχίν. Τιμάρχ. 106*).

455α. α) Ἴδε θέμα 379, *Δημοσθ. Λεπτίν. 18.* — β) *Δημοσθ. Μειδίου 32, 33, Πολυδ. Η. 86.* — γ) *Δειν́άρχ. Δημοσθ. 47, κ.λπ., Πλουτ. Σόλων, XIX.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



(α), ὁ ὑβρίζων τούτους ἐτιμωρεῖτο ἀτιμίᾳ (β), μετὰ τὴν λῆξιν τῆς ἀρχῆς των καθίσταντο ἀρεοπαγῖται (γ).

456. *Ἐπώνυμος Ἄρχων.* Οὗτος εὐθὺς εἰσελθὼν πρῶτον μὲν κηρύττει, ὅσα τις εἶχεν πρὶν αὐτὸν εἰσελθεῖν εἰς τὴν ἀρχήν, ταῦτ' ἔχειν καὶ κρατεῖν μέχρι ἀρχῆς τέλους. ἔπειτα *χορηγοὺς τραγῳδοῖς* καθίστησι τρεῖς ἐξ ἁπάντων Ἀθηναίων τοὺς πλουσιωτάτους· πρότερον δὲ καὶ *κωμῳδοῖς* καθίστη πέντε, νῦν δὲ τούτοις αἱ φυλαὶ φέρουσιν. ἔπειτα παραλαβὼν τοὺς χορηγοὺς τοὺς ἐνηνεγμένους ὑπὸ τῶν φυλῶν εἰς Διονύσια ἀνδράσιν καὶ παισὶν καὶ κωμῳδοῖς, καὶ εἰς Θαργήλια ἀνδράσιν καὶ παισίν, (εἰσὶ δ' οἱ μὲν εἰς Διονύσια κατὰ φυλάς, εἰς Θαργήλια ⟨δὲ⟩ δυοῖν φυλαῖν εἷς· παρέχει δ' ἐν μέρει ἑκατέρα τῶν φυλῶν) τούτοις τὰς ἀντιδόσεις ποιεῖ καὶ τὰς σκήψεις εἰσ[άγει, ἐά]ν τις ἢ λελητουργηκέναι φῇ πρότερον ταύτην τὴν λητουργίαν, ἢ ἀτελὴς εἶναι λελητουργηκὼς ἑτέραν λητουργίαν καὶ τῶν χρόνων αὐτῷ τῆς ἀτελείας μὴ ἐξεληλυθότων, ἢ τὰ ἔτη μὴ γεγονέναι· δεῖ γὰρ τὸν τοῖς παισὶν χορηγοῦντα ὑπὲρ τετταράκοντα ἔτη γεγονέναι.

457. Καθίστησι δὲ καὶ εἰς Δῆλον *χορηγοὺς* καὶ *ἀρχιθέω*[*ρον* τ]ῷ τριακοντορίῳ τῷ τοὺς ἠθέους ἄγοντι.

458. Πομπῶν δ' ἐπιμελεῖται τῆς τε τῷ Ἀσκληπιῷ γιγνομένης, ὅταν οἰκουρῶσι μύσται, καὶ τῆς Διονυσίων τῶν μεγάλων μετὰ τῶν *ἐπιμελητῶν*, οὓς πρότερον μὲν ὁ δῆμος ἐχειροτόνει δέκα ὄντας, καὶ τὰ εἰς τὴν πομπὴν ἀναλώματα παρ' αὐτῶν ἀνήλισκον, νῦν δ' ἕνα τῆς φυλῆς ἑκάστης κληροῖ καὶ δίδωσιν εἰς τὴν κατασκευὴν ἑκατὸν μνᾶς.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

459. Ἐπιμελεῖται δὲ καὶ τῆς εἰς Θαργήλια καὶ τῆς τῷ Διὶ τῷ Σωτῆρι. διοικεῖ δὲ καὶ τὸν ἀγῶνα τῶν Διονυσίων οὗτος καὶ τῶν Θαργηλίων. ἑορτῶν μὲν οὖν ἐπιμελεῖται τούτων.

460. *Δικαστικὴ δικαιοδοσία Ἐπωνύμου.* Γραφαὶ δὲ καὶ δίκαι λαγχάνονται πρὸς αὐτόν, ἃς ἀνακρίνας εἰς τὸ δικαστήριον εἰσάγει, *γονέων κακώσεως* (αὗται δ' εἰσὶν ἀζήμιοι τῷ βουλομένῳ διώκειν), *ὀρφανῶν κακώσεως* (αὗται δ' εἰσὶ κατὰ τῶν

---

456. *Ἀριστοτ. Ἀθην. Πολιτ. 56. 2.* — Οὗτος ἦτο ὁ κυρίως ἄρχων, ἐκ τοῦ ὀνόματος αὐτοῦ καθωρίζετο τὸ ἔτος, καὶ διὰ τοῦ ὀνόματος τούτου κατεχωρίζοντο αἱ πράξεις εἰς τὰ ἀρχεῖα (*Πολυδ. Η. 89*).

457. *Ἀριστοτ. Ἀθην. Πολιτ. 56. 3, Δεινάρχ. Δημοσθ. 81.*

458. *Ἀριστοτ. Ἀθην. Πολιτ. 56. 4.*

459. *Ἀριστοτ. Ἀθην. Πολιτ. 56. 5, Πολυδ. Η. 89.*

460. Ὁ Ἐπώνυμος ἤσκει τὴν ἐποπτείαν ἐπὶ τῶν ἀνικάνων. Ἴδε θέμα 127. *Δημοσθ. Μακάρτ. 77.* — Περὶ κλήρου ἢ ἐπικλήρου (ἴδε θέμα 142), *Δημοσθ. Μακάρτ. 7, 16, 54, Πολυδ. Η. 89, Δημοσθ. Στεφάν. Β'. 18, 22, 24, κ.λπ.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ἐπιτρόπων), *ἐπικλήρου κακώσε[ως....* (αὗτ]αι δ' εἰσὶ κατὰ τῶν ἐπιτρόπων καὶ τῶν συνοικούντων), *οἴκου ὀρφανικοῦ κακώσεως* (εἰσὶ δὲ καὶ [αὗται κατὰ τῶν] ἐπιτρόπων), *παρανοίας*, ἐάν τις αἰτιᾶταί τινα παρανοοῦντα [τὰ ὑπάρχοντα ἀ]πολλύν[αι], *εἰς δατητῶν αἵρεσιν*, ἐάν τις μὴ θέλῃ τὰ κοινὰ [τὰ ὄντα νέμεσθαι], *εἰς ἐπιτροπῆς κατάστασιν, εἰς ἐπιτροπῆς διαδικασίαν*, [*εἰς ἐμφανῶν κατάστασ*]*ιν*, *ἐπίτροπον αὑτὸν ἐγγράψαι, κλήρων καὶ ἐπικλήρων ἐπι*[*δικασίαι*. ἐπιμελεῖτ]αι δὲ καὶ τῶν ὀρφανῶν καὶ τῶν ἐπικλήρων καὶ τῶν γυναικῶν ὅσαι ἂν τελευτ[ήσαντος τοῦ ἀνδρ]ὸς *σκήπτωνται κύειν*· καὶ κύριός ἐστι τοῖς ἀδικοῦσιν ἐπιβάλ[λειν ἢ εἰσάγειν εἰς] τὸ δικαστήριον. *μισθοῖ* δὲ καὶ τοὺς οἴκους τῶν ὀρφανῶν καὶ τῶν ἐπικλ[ήρων, ἕως ἄν τις τετταρ]ακαιδεκέτις γένηται, καὶ τὰ *ἀποτιμήματα* λαμβάν[ει· καὶ τοὺς ἐπιτρόπους], ἐὰν μὴ διδῶσι τοῖς παισὶ τὸν *σῖτον*, οὗτος εἰσπράττει.

461. *Ἄρχων Βασιλεύς*. Ὁ δὲ βασιλεὺς πρῶτον μὲν *μυστηρίων* ἐπιμελεῖτ[αι μετὰ τῶν *ἐπιμελητῶν*, ὧ]ν ὁ δῆμ[ος χ]ειροτονεῖ, δύο μὲν ἐξ Ἀθηναίων ἁπάντων, ἕνα δ' [ἐξ Εὐμολπιδῶν, ἕνα] δ' ἐκ Κηρ[ύκω]ν. ἔπειτα *Διονυσίων* τῶν ἐπὶ Ληναίῳ· ταῦτα δ' ἐστι [πομπή τε καὶ ἀγών. τ]ὴν μὲν οὖν πομπὴν κοινῇ πέμπουσαν ὅ τε βασιλεὺς καὶ οἱ ἐπιμεληταί, τὸν δὲ ἀγῶνα διατίθησιν ὁ βασιλεύς. τίθησε δὲ καὶ τοὺς τῶν λαμπάδων ἀγῶνας ἅπαντας· ὡς δ' ἔπος εἰπεῖν καὶ τὰς πατρίους θυσίας διοικεῖ οὗτος πάσας.

462. *Δικαστικὴ δικαιοδοσία βασιλέως*. Γραφαὶ δὲ λαγχάνονται πρὸς αὐτὸν *ἀσεβείας*, κἄν τις *ἱερωσύνης* ἀμφισβητῇ πρός τινα. διαδικάζει δὲ καὶ τοῖς γένεσι καὶ τοῖς ἱερεῦσι τὰς ἀμφισβητήσεις τὰς ὑπὲρ τῶν ἱερῶν ἁπάσας οὗτος. λαγχάνονται δὲ καὶ αἱ τοῦ *φόνου* δίκαι πᾶσαι πρὸς τοῦτον, καὶ ὁ προαγορεύων εἴργεσθαι τῶν νομίμων οὗτός ἐστιν. εἰσὶ δὲ *φόνου* δίκαι καὶ *τραύματος*, ἂν μὲν ἐκ προνοίας ἀποκτείνῃ ἢ τρώσῃ, ἐν Ἀρείῳ πάγῳ, καὶ *φαρμάκων*, ἐὰν ἀποκτείνῃ δούς, καὶ *πυρ-*

---

461. *Ἀριστοτ. 56. 5.* — Ἡ σύζυγος αὐτοῦ ὑπεχρεοῦτο, ὅταν ἐκαλεῖτο νὰ προσφέρῃ ὡρισμένας θυσίας, κατὰ τὰ πάτρια τὰ ἄρρητα (*Δημοσθ. Νεαίρ. 75*).

462. *Ἀριστοτ. Ἀθην. Πολιτ. 57. 2.*— Οὗτος γὰρ ἐνδὺς στολήν, μιμούμενος τὰ ἱερὰ ἐπεδείκνυε τοῖς ἀμυήτοις καὶ εἶπε τῇ φωνῇ τὰ ἀπόρρητα, τῶν δὲ θεῶν, οὓς ἡμεῖς θεοὺς νομίζομεν καὶ θεραπεύοντες καὶ ἁγνεύοντες θύομεν καὶ προσευχόμεθα, τούτους περιέκοψε. καὶ ἐπὶ τούτοις ἱέρειαι καὶ ἱερεῖς στάντες κατηράσαντο πρὸς ἑσπέραν καὶ φοινικίδας ἀνέσεισαν, κατὰ τὸ νόμιμον τὸ παλαιὸν καὶ ἀρχαῖον. ὡμολόγησε δὲ οὗτος ποιῆσαι. ἔτι δὲ παρελθὼν τὸν νόμον ὃν ὑμεῖς ἔθεσθε, εἴργεσθαι τῶν ἱερῶν αὐτὸν ὡς ἀλιτήριον ὄντα, ταῦτα πάντα βιασάμενος εἰσελήλυθεν ἡμῶν εἰς τὴν πόλιν, καὶ ἔθυσεν ἐπὶ τῶν βωμῶν ὧν οὐκ ἐξῆν αὐτῷ, καὶ ἀπήντα τοῖς ἱεροῖς περὶ ἃ ἠσέβησεν, εἰσῆλθεν εἰς τὸ Ἐλευσίνιον, ἐχερνίψατο ἐκ τῆς ἱερᾶς χέρνιβος. κ.λ.π. (*Λυσίου —Ἀνδοκίδου 51, 1, 10, 15, 24, κ.λπ., Δημοσθ. Λάκριτ. 48. Ἀνδροτ. 27, Νεαίρ, 74, Πολυδ. Π. 90, Ἀρποκρατ.* λέξ. ἐπιμελητὴς μυστηρ., *Πλάτων. — Εὐθύφρ. 2, Θεαίτητ. 44, Ἀριστοφ. Ἀχαρν. 1143*).

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



*καίας*· ταῦτα γὰρ ἡ βουλὴ μόνα δικάζει· τῶν δ' *ἀκουσίων* καὶ *βουλεύσεως* κἂν οἰκέτην ἀποκτείνῃ τις ἢ μέτοικον ἢ ξένον, οἱ ἐπὶ *Παλλαδίῳ*· ἐὰν δ' ἀποκτεῖναι μέν τις ὁμολογῇ, *φῇ δὲ κατὰ τοὺς νόμους*, οἷον μοιχὸν λαβὼν ἢ ἐν πολέμῳ ἀγνοήσας ἢ ἐν ἄθλῳ ἀγωνιζόμενος, τούτῳ ἐπὶ *Δελφινίῳ* δικάζουσιν· ἐὰν δὲ φεύγων φυγὴν ὧν *αἴδεσίς* ἐστιν αἰτίαν ἔχῃ ἀποκτεῖναι ἢ τρῶσαί τινα, τούτῳ δ' ἐν *Φρεάτου* δικάζουσιν· ὁ δ' ἀπολογεῖται προσορμισάμενος ἐν πλοίῳ· δικάζουσι δ' οἱ λαχόντες ταῦ[τ' ἐφέται] πλὴν τῶν ἐν Ἀρείῳ πάγῳ γιγνομένων, εἰσάγει δ' ὁ βασιλεύς, καὶ δικάζουσιν ἐν ἱερ[ῷ] καὶ ὑπαίθριοι, καὶ ὁ βασιλεὺς ὅταν δικάζῃ περιαιρεῖται τὸν στέφανον. ὁ δὲ τὴν αἰτίαν ἔχων τὸν μὲν ἄλλον χρόνον εἴργεται τῶν ἱερῶν καὶ οὐδ' εἰς τὴν ἀγορὰν ν[όμος] ἐμβαλεῖν αὐτῷ· τότε δ' εἰς τὸ ἱερὸν εἰσελθὼν ἀπολογεῖται. ὅταν δὲ μὴ εἰδῇ τὸν ποιήσαντα, τῷ δράσαντι λαγχάνει. δικάζει δ' ὁ βασιλεὺς καὶ οἱ *φυλοβασιλεῖς* καὶ τὰς τῶν ἀψύχων καὶ τῶν ἄλλων ζῴων.

463. *Ἄρχων - Πολέμαρχος*. Οὗτος θύει μὲν θυσίας τήν τε τῇ Ἀρτέμιδι τῇ ἀγροτέρᾳ καὶ τῷ Ἐνυαλίῳ, διατίθησι δ' ἀγῶνα τὸν ἐπιτάφιον [[καὶ]] τοῖς τετελευτηκόσιν ἐν τῷ πολέμῳ καὶ Ἁρμοδίῳ καὶ Ἀριστογείτονι ἐναγίσματα ποιεῖ.

464. *Δικαστικὴ ἐξουσία Πολεμάρχου*. Δίκαι δὲ λαγχάνονται πρὸς αὐτὸν ἴδιαι μόνον, αἵ τε τοῖς μετοίκοις καὶ τοῖς ἰσοτελέσι καὶ τοῖς προξένοις γιγνόμεναι· καὶ δεῖ τοῦτον λαβόντα καὶ διανείμαντα δέκα μέρη τὸ λαχὸν ἑκάστῃ τῇ φυλῇ μέρος προσθεῖναι, τοὺς δὲ τὴν φυλὴν δικάζοντας τοῖς διαιτηταῖς ἀποδοῦναι. αὐτὸς δ' εἰσάγει δίκας τάς τε τοῦ ἀποστασίου καὶ ἀπροστασίου καὶ κλήρων καὶ ἐπικλήρων τοῖς μετοίκοις, καὶ τἄλλ' ὅσα τοῖς πολίταις ὁ ἄρχων, ταῦτα τοῖς μετοίκοις ὁ πολέμαρχος.

465. *Θεσμοθέται*. Πρῶτον μὲν τοῦ προγράψαι τὰ δικαστήρια εἰσι κύριοι τίσιν ἡμέραις δεῖ δικάζειν, ἔπειτα τοῦ δοῦναι ταῖς ἀρχαῖς· καθότι γὰρ ἂν οὗτοι δῶσιν, κατὰ τοῦτο χρῶνται.

466. *Δικαστικὴ ἐξουσία Θεσμοθετῶν*. Ἔτι δὲ τὰς εἰσαγγελίας εἰσαγγέλλουσιν εἰς τὸν δῆμον καὶ τὰς καταχειροτονίας καὶ τὰς προβολὰς ἁπάσας εἰσάγουσιν οὗτοι καὶ γραφὰς παρανόμων καὶ νόμον μὴ ἐπιτήδειον θεῖναι καὶ προεδρικὴν καὶ ἐπι-

---

463. *Ἀριστοτ. Ἀθην. Πολιτ. 58. 1.*

464. *Ἀριστοτ. Ἀθην. Πολιτ. 58. 2.* — Πᾶσαι αἱ δίκαι αἵτινες εἰσήγοντο διὰ τοῦ Ἐπωνύμου Ἄρχοντος, εἰσήγοντο διὰ τοῦ Πολεμάρχου, ἐφ' ὅσον ἀφεώρων ξένους ἢ μετοίκους, ἐν αἷς τὴν περὶ ἀποστασίου καὶ ἀπροστασίου (*Δημοσθ. Λάκριτ. 48, Πολυδ. Η. 91, Ἁρποκρατ. λέξ. πολέμαρχος*).

465. *Ἀριστοτ. Ἀθην. Πολιτ. 59. 1.*

466. *Ἀριστοτ. Ἀθην. Πολιτ. 59. 2.* — Διαρρήδην προστέτακται τοῖς θεσμοθέταις καθ' ἕκαστον ἐνιαυτὸν διορθοῦν ἐν τῷ δήμῳ τοὺς νόμους, ἀκριβῶς ἐξετάσαντας καὶ σκεψαμένους εἴ τις ἀναγέγραπται νόμος ἐναντίος ἑτέρῳ νόμῳ, ἢ ἄκυρος ἐν τοῖς κυρίοις, ἢ εἴ που εἰσὶ νόμοι πλείους ἑνὸς ἀναγεγραμμένοι περὶ ἑκάστης πράξεως (*Αἰσχίν. Κτησιφ. 38*). — Ἐδέχοντο γραφὰς καὶ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

στατικὴν καὶ στρατηγοῖς εὐθύνας. εἰσὶ δὲ καὶ γραφαὶ πρὸς αὐτοὺς ὧν παράστασις τίθεται, ξενίας καὶ δωροξενίας, ἄν τις δῶρα δοὺς ἀποφύγῃ τὴν ξενίαν, καὶ συκοφαντίας καὶ δώρων καὶ ψευδεγγραφῆς καὶ ψευδοκλητείας καὶ βουλεύσεως καὶ ἀγραφίου καὶ μοιχείας. εἰσάγουσι δὲ καὶ τὰς δοκιμασίας ταῖς ἀρχαῖς ἁπάσαις καὶ τοὺς ἀπεψηφισμένους ὑπὸ τῶν δημοτῶν, καὶ τὰς καταγνώσεις τὰς ἐκ τῆς βουλῆς. εἰσάγουσι δὲ καὶ δίκας ἰδίας, ἐμπορικὰς καὶ μεταλλικὰς καὶ δούλων, ἄν τις τὸν ἐλεύθερον κακῶς λέγῃ. καὶ ἐπικληροῦσι ταῖς ἀρχαῖς οὗτοι τὰ δικαστήρια τὰ ἴδια καὶ τὰ δημόσια. καὶ τὰ σύμβολα τὰ πρὸς τὰς πόλεις οὗτοι κυροῦσι, καὶ τὰς δίκας τὰς ἀπὸ τῶν συμβόλων εἰσάγουσι, καὶ τὰ ψευδομαρτύρια ⟨τὰ⟩ ἐξ Ἀρείου πάγου.

467. *Κλήρωσις δικαστῶν*. Τοὺς δὲ δικαστὰς κληροῦσι πάντες οἱ ἐννέα ἄρχοντες, δέκατος δὲ ὁ γραμματεὺς ὁ τῶν θεσμοθετῶν, τοὺς τῆς αὐτοῦ φυλῆς ἕκαστος.

## δ΄. Βουλὴ Ἀρείου Πάγου

468. *Βουλὴ Ἀρείου Πάγου*. Τὴν ἐν Ἀρείῳ Πάγῳ βουλὴν εἶναι ἐκ τῶν κατ' ἐνιαυτὸν ἀρχόντων (α), ταύτην εἶναι ἐπίσκοπον πάντων, καὶ φύλακα τῶν νόμων (β).

---

ἀγωγὰς καὶ εἰσῆγον αὐτὰς εἰς τὸ ἁρμόδιον δικαστήριον, εἰσάγουσι τὰς ἀπὸ συμβόλων δίκας, κ.λπ. (*Δημοσθ. Τιμοκρ. 61, Νεαίρ. 18, 52*). — Ἐὰν παρέλιπον νὰ εἰσαγάγωσι δίκας κατὰ τῶν ὀφειλετῶν τοῦ δημοσίου, δὲν ἠδύναντο νὰ γίνουν ἀρεοπαγῖται μετὰ τὴν λῆξιν τῆς ἀρχῆς αὐτῶν, τῆς ἐνιαυσίας (ἴδε θέμα 18, *Δημοσθ. Τιμοκρ. 20 ἐπ.*).

467. Ἐκλήρουν τοὺς δικαστὰς (*Πολυδ. Η. 87, 88*), κ.λπ.

468. α) Ἡ Βουλὴ τοῦ Ἀρείου Πάγου διέφερε τῆς Βουλῆς τῶν Πεντακοσίων, καὶ πρώτη διαφορὰ ἐστὶ τὸ τὴν τῶν πεντακοσίων τὰ δημόσια πράγματα διοικεῖν, τὴν δ' ἐν Ἀρείῳ πάγῳ τὰ φονικὰ μόνον. εἰ δέ τις εἴποι ὅτι καὶ αὕτη δημόσια διῴκει, λέγομεν ὅτι, ἡνίκα μεγίστη ἀνάγκη ἐγίγνετο, τότε μόνον περὶ δημοσίων συνήγετο. δευτέρα διαφορά, ὅτι ἡ μὲν τῶν πεντακοσίων ἀριθμῷ ὑποπίπτει ὡρισμένῳ, ἡ δὲ ἀορίστῳ. ὡς γάρ τινες τῶν ῥητόρων λέγουσι, κατ' ἔτος οἱ ἐννέα ἄρχοντες αὐτῇ προσετίθεντο· ὡς δέ τινες, ὅτι οἱ ἓξ μόνον θεσμοθέται.... τρίτη διαφορά, ὅτι ἡ μὲν τῶν πεντακοσίων κατ' ἐνιαυτὸν διεδέχετο, ἡ δὲ τῶν Ἀρειοπαγιτῶν ἦν ἀδιάδοχος· εἰ μὴ γάρ τις ἥμαρτε μεγάλως, οὐκ ἐξεβάλλετο (*Δημοσθ. Ἀνδροτ. προοίμ.*). Ταὐτὸν ἐν Ρώμῃ διὰ τοὺς πραίτωρας, *ν. 2. Κ. 1. 39.* — β) Ἴδε ἀνωτέρω θέμα 29 (*Δεινάρχ. Δημοσθ. 9*). Ἄνω βουλήν, ὀνομάζουσιν αὐτήν, οἰόμενος Σόλων, ἐπὶ δυσὶ βουλαῖς, ὥσπερ ἀγκύραις ὁρμοῦσαν, ἧττον ἐν σάλῳ τὴν πόλιν ἔσεσθαι, καὶ μᾶλλον ἀτρεμοῦντα τὸν δῆμον παρέξειν (*Πλουτ. Σόλων 19*, ἴδε καὶ *Ἰσοκρ. Ἀρεοπαγ.*). Ἔρυμά τε χώρας καὶ πόλεως σωτήριον........ κερδῶν ἄθικτον βουλευτήριον.... ....εὑδόντων ὕπερ ἐγρηγορὸς φρούρημα γῆς (*Αἰσχύλ. Εὐμενίδ. 701*), οὗτινος, οὐδεὶς πώποτε, οὔτε φεύγων ἁλούς, οὔτε διώκων ἡττηθείς, ἐξήλεγξεν ὡς ἀδίκως ἐδικάσθη τὰ κριθέντα (*Δημοσθ. Ἀριστοκρ. 66*). Ὁ Ἄρειος Πάγος εἶχε μεγίστην ἰσχύν, διότι, τὴν τῶν σωμάτων φυλακὴν ὁ δῆμος παρακαταθήκην ἔδωκεν, ᾧ τὴν πολιτείαν καὶ δημοκρατίαν πολλάκις ἐγκεχείρικεν....ὃ φυλάττει τὰς ἀπορρήτους διαθήκας, ἐν αἷς τὰ τῆς πόλεως σωτήρια κεῖται (*Δειναρχ. Δημοσθ. 9*). Ἀλλ' ἡ μεγάλη ἰσχύς, ἣν ἔσχεν αὕτη, ἔδωκεν ἀφορμὴν εἰς τὸν Περικλέα διὰ τοῦ Ἐφιάλτου,

Ακαδημία Αθηνών / Academy of Athens



469. Μηδένα ποιεῖν κωμῳδίας Ἀρεοπαγίτην.

470. Τὴν Βουλὴν τὴν ἐν Ἀρείῳ πάγῳ ἐγγράφειν πρὸς τοὺς λογιστάς... λόγον καὶ εὐθύνας διδόναι.

471. *Δικαιώματα καὶ ὑποχρεώσεις Βουλῆς Ἀρ. Πάγου.* Δικάζειν δὲ τὴν ἐν Ἀρείῳ Πάγῳ φόνου καὶ τραύματος ἐκ προνοίας, καὶ πυρκαϊᾶς καὶ φαρμάκων, ἐάν τις ἀποκτείνῃ δούς (α). Ταύτην ἐπέστησαν ἐπιμελεῖσθαι τῆς εὐκοσμίας τῶν παίδων (β). Ἔταξαν ἐπισκοπεῖν, ὅθεν ἕκαστος ἔχει τὰ ἐπιτήδεια, καὶ τοὺς ἀργοὺς κολάζειν (γ). Ἐπιμελεῖσθαι τὰ περὶ ὑγείας, ἐπιβλέπειν τὰ μέτρα καὶ σταθμά, καὶ τὰς ἱερὰς ἐλαίας (δ). Πρὸς ταύτῃ καθιδρύθησαν οἱ *νομοφύλακες*, οἳ ἐκώλυον τ' ἀσύμφορα τῇ πόλει πράττειν (ε).

---

πεῖσαι τὸν δῆμον ψηφίσμασι μειῶσαι τὰς κρίσεις, πλὴν ὀλίγων, αὐτῆς καὶ τὰ πάτρια καὶ περιβόητα νόμιμα καταλῦσαι (*Διοδώρ. ΙΑ. 77, Πλουτ. Κίμων. ΙΕ, ΙΓ, Περικλ. 1, 9, Αἰλιανοῦ ΙΑ. 9, Ἀριστοτ. Πολιτ. Β. 9. 3*), ἀλλὰ βραδύτερον ἐπὶ Εὐκλείδου, μετὰ τὴν ἔξωσιν τῶν Τριάκοντα, ἀνέκτησε τὴν προτέραν θέσιν αὐτῆς (*Αἰσχίν. Τιμάρχ. 51 ἐπ., Ἀνδοκίδ. Μυστηρ. 84*).

469. Τὴν μὲν κωμῳδοποιΐαν οὕτως ἄσεμνον ἡγοῦντο, καὶ φορτικόν, ὥστε νόμος ἦν. μηδένα ποιεῖν κωμῳδίας Ἀρεοπαγίτην (*Πλουτ. Ἀθην. δόξης*).

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

470. Οὕτω τὴν ἐκεῖ σκυθρωπὸν καὶ τῶν μεγίστων κύριον ἄγει ὑπὸ τὴν ὑμετέραν ψῆφον. οὐκ ἄρα στεφανωθήσεται ἡ βουλὴ ἡ ἐξ Ἀρείου πάγου; οὐδὲ γὰρ πάτριον αὐτοῖς ἐστιν (*Αἰσχίν. Κτησιφ. 20 ἐπ.*). — Ἐντεῦθεν, οὐκ ἐᾷ τὴν οὐσίαν καθιεροῦν, οὐδ' ἀνάθημα ἀναθεῖναι, οὐδ' ἐκποίητον γενέσθαι, οὐδὲ διαθέσθαι τὰ ἑαυτοῦ, καὶ ἄλλα πολλά· (*Αἰσχίν. αὐτόθι*).

471. α) Ἐγίνετο δὲ διωμοσία, καὶ μετὰ τὴν διωμοσίαν κρίσις· προοιμιάζεσθαι δὲ οὐκ ἐξῆν, οὐδ' οἰκτίζεσθαι. μετὰ δὲ τὸν πρότερον λόγον ἐξῆν φυγεῖν, πλὴν εἴ τις γονέας εἴη ἀπεκτονώς. καθ' ἕκαστον δὲ μῆνα τριῶν ἡμερῶν ἐδίκαζον ἐφεξῆς, τετάρτῃ φθίνοντος, τρίτῃ, δευτέρᾳ... ὑπαίθριοι δ' ἐδίκαζον. φόνου δὲ ἐξῆν ἐπεξιέναι μέχρις ἀνεψιῶν, καὶ ἐν τῷ ὅρκῳ ἐπερωτᾶν τίς προσήκων ἐστὶ τῷ τεθνεῶτι· κἂν οἰκέτης ᾖ, ἐπισκήπτειν συγκεχώρηται. τὸ ἐπὶ *Παλλαδίῳ* ἐν τούτῳ λαγχάνεται περὶ τῶν ἀκουσίων φόνων.......τὸ ἐπὶ *Δελφινίῳ*... δικαίως δ' ἔφη τοῦτο δεδρακέναι. τὸ ἐπὶ *Πρυτανείῳ* δικάζει περὶ τῶν ἀποκτεινάντων, κἂν ὦσιν ἀφανεῖς, δικάζει δὲ καὶ περὶ τῶν ἀψύχων τῶν ἐμπεσόντων καὶ ἀποκτεινάντων..........τὸ ἐν *Φρεαττοῖ*. ἐν τούτῳ ἐκρίνετο εἴ τις τῶν φευγόντων ἐπὶ ἀκουσίου φόνου αἰτίᾳ δευτέραν αἰτίαν ἑκουσίου προσλάβοι, ἣν δ' ἐπὶ θαλάττῃ τὸ δικαστήριον (*Πολυδ. Η. 117 - 120*). Ἴδε ἀνωτέρω θέμα 319. — β) Ἀλλ' ἐν ταύταις ταῖς ἀκμαῖς πλείονος ἐπιμελείας ἐτύγχανον ἢ παῖδες ὄντες (*Ἰσοκράτ. Ἀρεοπαγ. 37, Διονυσ. Ἁλικαρν. Κ. 2*). — γ) *Πλουτ. Σόλων 22, Ἰσοκρατ. Ἀρεοπαγ. 38*. — δ) *Λυσίου — Σηκοῦ 2, Δημοσθ. Νεαίρ. 83 ἐπ.* Καὶ χαλεπῶς φερούσης τῆς ἐν Ἀρείῳ πάγῳ βουλῆς καὶ ζημιούσης τὸν Θεογένην (Ἄρχοντα — Βασιλέα), ὅτι τοιαύτην (μὴ Ἀθηναίαν καὶ μὴ ἁγνὴν) ἔλαβε γυναῖκα, καὶ ταύτην εἴασε ποιῆσαι τὰ ἱερὰ τὰ ἄρρητα ὑπὲρ τῆς πόλεως (*Δημοσθ. Νεαίρ. 81*). — ε) *Πλουτ. Φωκ. 1, Δημοσθ. Στεφάν.* — Τῶν δικῶν τούτων οἱ Ἀρεοπαγῖται ἐνήργουν ὡς ἀνακριταί. Οὔτε κατηγοροῦμεν οὔτε ἀπολογούμεθα. οὐ γὰρ ἡμῖν πάτριόν ἐστιν (*Αἰσχίν. Τιμάρχ. 83*). Πρῶτον μὲν διομεῖται κατ' ἐξωλείας αὐτοῦ καὶ γένους καὶ οἰκίας ὅ τινα αἰτιώμενος εἰργάσθαι τι

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



## ε΄. Στρατιωτικὴ ὑπηρεσία

472. *Στρατηγοί.* Χειροτονοῦσι δὲ καὶ τὰς πρὸς τὸν πόλεμον ἀρχὰς ἁπάσας, στρατηγοὺς δέκα, πρότερον μὲν ἀφ' ⟨ἑκάστης⟩ τῆς φυλῆς ἕνα, νῦν δ' ἐξ ἁπάντων· καὶ τούτους διατάττουσι τῇ χειροτονίᾳ, ἕνα μὲν *ἐπὶ τοὺς ὁπλίτας*, ὃς ἡγεῖται τῶν ὁπλιτῶν ἂν ἐξίωσι, ἕνα δ' ἐπὶ τὴν *χώραν*, ὃς φυλάττει, κἂν πόλεμος ἐν τῇ χώρᾳ γίγνηται, πολεμεῖ οὗτος· δύο δ' *ἐπὶ τὸν Πειραιέα*, τὸν μὲν εἰς τὴν Μουνιχίαν, τὸν δ' εἰς τὴν Ἀκτήν, οἳ τῆς φυλακῆς ἐπιμελοῦνται [[καὶ]] τῶν ἐν Πειραιεῖ· ἕνα δ' *ἐπὶ τὰς συμμορίας*, ὃς τούς τε τριηράρχους καταλέγει, καὶ τὰς ἀντιδόσεις αὐτοῖς ποιεῖ καὶ τὰς διαδικασίας αὐτοῖς εἰσάγει· τοὺς δ' ἄλλους πρὸς τὰ παρόντα πράγματα ἐκπέμπουσιν.

473. *Ἔγκρισις τῶν ὑπ' αὐτῶν πεπραγμένων.* Ἐπιχειροτονία δ' αὐτῶν ἐστι κατὰ τὴν πρυτανείαν ἑκάστην, εἰ δοκοῦσιν καλῶς ἄρχειν· κἄν τινα ἀποχειροτονήσωσιν, κρίνουσιν ἐν τῷ δικαστηρίῳ, κἂν μὲν ἁλῷ, τιμῶσιν ὅ τι χρὴ παθεῖν ἢ ἀποτεῖσαι, ἂν δ' ἀποφύγῃ, πάλιν ἄρχει. κύριοι δέ εἰσιν ὅταν ἡγῶνται καὶ δῆσαι τὸν ἀτακτοῦντα καὶ ⟨ἐκ⟩κηρῦξαι καὶ ἐπιβολὴν ἐπιβάλλειν· οὐκ εἰώθασι δὲ ἐπιβάλλειν.

474. Τῶν δὲ στρατηγῶν τὸ νῦν εἶναι τὴν αἵρεσιν ἐξ ἁπάντων ποιεῖσθαι τῶν πεντακισχιλίων, τὴν δὲ βουλὴν ἐπειδὰν καταστῇ ποιήσασαν ἐξέτασιν ⟨ἐν⟩ ὅπλοις ἑλέσθαι δέκα ἄνδρας καὶ γραμματέα τούτοις, τοὺς δ' αἱρεθέντας ἄρχειν τὸν εἰσιόντα ἐνιαυτὸν αὐτοκράτορας, καὶ ἄν τι δέωνται συμβουλεύεσθαι μετὰ τῆς βουλῆς.

475. Τὸν Στρατηγὸν παιδοποιεῖσθαι κατὰ τοὺς νόμους, καὶ γῆν ἐντὸς ὅρων κεκτῆσθαι.

476. Τοὺς Στρατηγοὺς δεινὰ ποιοῦντας καὶ κατάγοντας τὰ πλοῖα τῶν συμμάχων εἰσαγγέλειν.

---

τοιοῦτον, εἶτ' οὐδὲ τὸν τυχόντα τιν' ὅρκον τοῦτον ποιήσει........τῷ δὲ ἐπιδεῖν διδόντα δίκην ἔξεστιν, ἣν ἔταξεν ὁ νόμος, τὸν ἁλόντα, πέρα δ' οὐδὲν τούτου (*Δημοσθ. Ἀριστοκρ. 67*).

472. *Ἀριστοτ. Ἀθην. Πολιτ. 61. 1.*

473. *Ἀριστοτ. Ἀθην. Πολιτ. 61. 2.*

474. *Ἀριστοτ. Ἀθην. Πολιτ. 31. 2.*

475. Καὶ τοὺς μὲν νόμους προλέγειν τῷ ῥήτορι καὶ τῷ στρατηγῷ, ⟨τῷ⟩ τὴν παρὰ τοῦ δήμου πίστιν ἀξιοῦντι λαμβάνειν, παιδοποιεῖσθαι κατὰ τοὺς νόμους, γῆν ἐντὸς ὅρων κεκτῆσθαι, πάσας τὰς δικαίας πίστεις παρακαταθέμενον, οὕτως ἀξιοῦν προεστάναι τοῦ δήμου (*Δεινάρχ. Δημοσθ. 71*).

ιζ) *Βουλευτικός.* Πρῶτον μὲν Ἀγύρριος ὀβολὸν ἐπόρισεν, μετὰ δὲ τοῦτον Ἡρακλείδης ὁ Κλαζομένιος ὁ βασιλεὺς ἐπικαλούμενος διώβολον, πάλιν δ' Ἀγύρριος τριώβολον (*Ἀριστοτ. Ἀθην. Πολιτ. 41. 3*), βραδύτερον ἀνῆλθε διὰ μὲν τὴν κυρίαν ἐκκλησίαν εἰς 9 ὀβολούς, ἤτοι 1 καὶ 1)2 δραχμήν, διὰ δὲ τὰς λοιπὰς εἰς 1 δραχμὴν (*Ἀριστοτ. Ἀθην. Πολιτ. 62. 2*).

ιη) *Θεωρικός.* Τὸ θεωρικὸν εἶχε σκοπὸν νὰ παράσχῃ εἰς τοὺς ἀπόρους τὴν ἀξίαν τοῦ εἰσιτηρίου τοῦ θεάτρου Διονύσου. Εἰσήχθη πιθανῶς ὑπὸ τοῦ Περικλέους (*Πλουτ. Περικλ. ΙΧ*). Ἀπετελεῖτο ἐξ ἑνὸς διωβόλου. Βραδύτερον ἐπεξετάθη ἡ παροχή του εἰς πάντα τὰ θεάματα καὶ ἑορτάς, καὶ βραδύτερον ἔτι διὰ νὰ ἐμπλουτισθῇ τὸ ταμεῖον τοῦτο, καθιερώθη ἡ ἀρχὴ ὅπως πάντα τὰ περισσεύματα δίδωνται διὰ τὸ θεωρικόν, ἐπὶ τῇ προφάσει ὅτι τοῦτο μικρὸν κατὰ μικρὸν θὰ διενέμετο μεταξὺ τῶν πολιτῶν. Κακίζων ὁ Ἀριστοτέλης τὰς προθέσεις ταύτας, δογματίζει «ἔτι δ' ἡ πονηρία τῶν ἀνθρώπων ἄπληστον, καὶ τὸ πρῶτον μὲν ἱκανὸν διωβολία μόνον, ὅταν δὲ τοῦτ' ᾖ πάτριον, ἀεὶ δέονται τοῦ πλείονος εἰς ἄπειρον ἔλθωσι» (*Πολιτ. Β'. 4. 11*), καὶ ἔτι περαιτέρω. «Τὰ γὰρ περιϊόντα νέμουσιν (οἱ δημαγωγοί)· λαμβάνουσι δ' ἅμα, καὶ πάλιν δέονται τῶν αὐτῶν· ὁ τετρημένος γὰρ ἐστι πίθος ἡ τοιαύτη βοήθεια τοῖς ἀπόροις» (*Πολιτ. Ζ. 111. 4*). Βάσει τῶν προθέσεων τούτων ὁ Εὔβουλος ἔθεσε νόμον, καθ' ὃν ἐτιμωρεῖτο πᾶς ὑποβάλλων νόμον δι' οὗ θὰ ἐζητεῖτο ἡ χρησιμοποίησις τῶν θεωρικῶν ὡς στρατιωτικῶν, διὰ τοιαύτην δὲ παράβασιν ἐτιμωρήθη ὁ Ἀπολλόδωρος (*Δημοσθ. Νεαίρ. 5 ἐπ., Αἰσχίν. Κτησιφ. 57*). Παρὰ ταῦτα βραδύτερον ὁ Δημοσθένης ἐπέτυχε τὴν ἵδρυσιν ταμείου στρατιωτικῶν, εἰς ὃ συνεκεντρώθησαν τὰ περισσεύματα (ἴδε *Δημοσθ. Φιλίππ. Α. 40*), ὅπερ καὶ ἴσχυσε μέχρι τοῦ Ἀριστοτέλους (*Πολ. Ἀθ. 43, 47*).

498α. Ἔτι δὲ καὶ τὰς δαπάνας τῆς πόλεως ἁπάσας, ὅπως εἴ τις περίεργος ἀφαιρεθῇ καὶ εἴ τις μείζων, ἐλάττων γένηται· οὐ γὰρ μόνον πρὸς τὰ ὑπάρχοντα προστιθέντες πλουσιώτεροι γίνον-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

499. *Ἐκμίσθωσις δημοσίων προσόδων.* Τὰ πλεῖστα τῶν δημοσίων τελῶν ἐμισθοῦντο ὑπὸ πολιτῶν ἢ ἑταιριῶν διὰ τῶν πωλητῶν, ἐνεργούντων ὡς ἀντιπροσώπων τῆς ἐφορίας τῆς Βουλῆς. Οἱ Τελῶναι, ὡς εἴρηται, ἐξῃροῦντο τῆς στρατιωτικῆς ὑπηρεσίας, εἶχον δὲ συνήθως ἐν τῇ ὑπηρεσίᾳ των εἰσπράκτορας, *ἐκλογεῖς* καλουμένους.

500. Τοὺς τὰ τέλη ὠνουμένους, εἰ μὴ καταβάλοιεν τὰ χρήματα ἕως τῆς ἐννάτης πρυτανείας, τὰ διπλᾶ καταβαλεῖν.

501. Τὴν οὐσίαν δημοσίαν εἶναι, ὃς ἂν ἐγγυησάμενός τι τῶν τῆς πόλεως, μὴ ἀποδῷ τὴν ἐγγύην.

502. Ἐπεγγυᾶν δ' ἐπιορκήσαντα τὸν Ἀπόλλω, δεδιότα δὲ δίκης ἕνεκα δρασκάζειν.

503. *Ἀποταμίευσις δημοσίου θησαυροῦ.* Χίλια τάλαντα κατὰ τὸν ἐνιαυτὸν ἐξαίρετα εἶναι τῷ δήμῳ καὶ μὴ ἀναλοῦν. Ἢν δέ τις εἴπῃ ἢ ἐπιψηφίσῃ κινεῖν τὰ χρήματα ταῦτα εἰς ἄλλο τι, ἢν μὴ οἱ πολέμιοι νηΐτῃ στρατῷ ἐπιπλέωσι τῇ πόλει, καὶ δέῃ ἀμύνασθαι, θάνατον ζημίαν εἶναι.

504. Θανάτῳ ζημιοῦσθαι, εἴ τις ἐπιχειροίη μεταποιεῖν τὰ θεωρικὰ στρατιωτικά.

505. Ὁπόταν πόλεμος ᾖ, τὰ περιόντα χρήματα τῆς διοικήσεως στρατιωτικὰ εἶναι.

## στ΄. Οἰκονομικαὶ ὑπηρεσίαι

506. *Ταμίαι.* Οὗτοι ἐκλεγόμενοι ὑπὸ τοῦ λαοῦ (α), μεταξὺ τῶν πεντακοσιομεδίμνων (β), δὲν ἠδύναντο νὰ ὑπηρετήσουν πέραν τῶν πέντε ἐτῶν (γ). Πλὴν τούτων

---

ται, ἀλλὰ καὶ ἀφαιροῦντες τῶν δαπανημάτων (*Ἀριστοτ. Ρητορ. Α. 4, σελ. 1359β*). — *Διατριβὴ Ἰω. Λ. Ζέπου ἐν Δικαιοσύνῃ Α΄. (1932) σελ. 79 ἑπ.*

499. Ἴδε σημ. η' θέματος 494, θέμα 487 καὶ 507.

500. *Δημοσθ. Τιμοκρ. 82 ἑπ., κατ' Ἀριστογ. Α. ὑπόθ.*

501. Ἐδημεύοντο τὰ κτήματα τοῦ ὀφειλέτου τοῦ δημοσίου, ἐφ' ὅσον δὲν παρεῖχεν ἐγγυητάς.

502. Τούτων τὸ μὲν ἐπιορκήσαντα ὀμόσαντά ἐστι, τὸ δὲ δρασκάζειν, ὃ νῦν ἀποδιδράσκειν ὀνομάζομεν (*Λυσίου — Θεομν. 17*). Λεύκων τις γεωργὸς μέλιτος ἀσκοὺς εἰς φορμὸν ἐμβαλών, ἐκόμιζεν Ἀθήναζε· κριθὰς σὺν τοῖς φορμοῖς ἐμβαλών, ὡς ὑπὲρ κριθῶν ὀλίγον εἰσπραχθησόμενον τέλος, τοῦ δὲ ὄνου πεσόντος, οἱ Τελῶναι βοηθῆσαι βουλόμενοι, ἔμαθον ὅτι μέλι ἐστὶ καὶ ἀπηνέγκαντο αὐτὸ ὡς ἀτελώνητον (*Ζηνόβιος*).

503. Ταὐτὸν τῷ θέματι 245.

504. Ταὐτὸν τῷ θέματι 246. — Ὁ νόμος οὗτος τοῦ Εὐβούλου ἐτροποποιήθη βραδύτερον ὑπὸ τοῦ Δημοσθένους, ἴδε ἀνωτέρω σημείωσιν 18 τοῦ θέματος 498.

505. Ἴδε ἀνωτέρω σημ. ιη' τοῦ 498 θέματος. — Ἴδε καὶ *Δημοσθ. Νεαίρας 5 ἑπ.*

506. α) Ὁ ταμίας ἐστὶν αὐτοῖς (τοῖς βουλευταῖς) κληρωτὸς (*Ἀριστοτ. Ἀθην. Πολιτ. 49. 4*). — β) Κελεύει γὰρ κληροῦν τοὺς ταμίας ἐκ πεντακοσιομεδίμνων (*Ἀριστοτ. Ἀθην. Πο-*

Ακαδημία Αθηνών / Academy of Athens
ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



ἐξελέγοντο οἱ *Ταμίαι τῶν ἀδυνάτων*, οἵτινες ἦσαν κληρωτοὶ (δ), οἱ *τῶν Στρατιωτικῶν*, οἵτινες ἐχειροτονοῦντο (ε) καὶ εἰσέπραττον τὸ ἀντίτιμον τῶν πωλουμένων μετάλλων καὶ τελῶν (στ´), καὶ διεχειρίζοντο τὰ τῶν ἄθλων τῶν εἰς τὰ Παναθήναια (ζ), ὁ τῆς *Παράλου* καὶ νῦν τῆς τοῦ *Ἄμμωνος*, ὅστις ἐχειροτονεῖτο (η), *οἱ δέκα Ταμίαι τῆς Ἀθηνᾶς*, οἵτινες ἐκληροῦντο ἀνὰ εἷς ἐκ τῆς φυλῆς ἐκ τῶν πεντακοσιομεδίμνων κατὰ τὸν Σόλωνος νόμον (ἔτι γὰρ ὁ νόμος κύριός ἐστιν), ἄρχειν δ' ὁ λαχὼν κἂν πάνυ πένης ᾖ, οὗτοι παραλαμβάνουσι τό τε ἄγαλμα τῆς Ἀθηνᾶς καὶ τὰς Νίκας καὶ τὸν ἄλλον κόσμον καὶ τὰ χρήματα ἐναντίον τῆς βουλῆς. (θ).

507. *Ἄλλοι οἰκονομικοὶ λειτουργοί. Δέκα λογισταὶ καὶ εὔθυνοι*, ἀνὰ εἷς ἐξ ἑκάστης φυλῆς, ἐκλεγόμενοι ὑπὸ τῆς βουλῆς (α), καὶ δύο *πάρεδροι*, παρ' ἑκάστῳ

---

*λιτ. 8*). — γ) Οἱ ταμίαι δὲν ἠδύναντο νὰ ὑπηρετήσωσι πέραν τῶν πέντε ἐτῶν. (*Ἀριστοφ. Ἱππ. 947*). — δ) *Ἀριστοτ. Ἀθην. Πολιτ. 49. 4.* — ε) Ἄρχει δὲ ὁ λαχών, κἂν πάνυ πένης ᾖ. (*Ἀριστοτ. Ἀθην. Πολιτ. 47. 1*) — στ) *Ἀριστοτ. Ἀθην. Πολιτ. 47. 2.* — ζ) Τῆς ποιήσεως τῶν Νικῶν καὶ τῶν ἄθλων (*Ἀριστοτ. Ἀθην. Πολιτ. 49. 3*). — η) *Ἀριστοτ. Ἀθην. Πολιτ. 61. 7.* — θ) *Ἀριστοτ. Ἀθην. Πολιτ. 30. 2 καὶ 47. 4*. Εἰς τὸν ἐν Ἀκροπόλει ναὸν τῆς Ἀθηνᾶς ἦσαν κατατεθειμένα τὰ τῶν Περσῶν λάφυρα, πολύτιμα ἀγάλματα εἰκόνες (*Δημοσθ. Τιμοκρ. 129, κατ' Ἀνδροτίων. 71. Ἀριστοφ. Πλοῦτ. 1189*). Διὰ κλήρου ἐπίσης ἐξελέγοντο καὶ οἱ ταμίαι τῶν λοιπῶν θεῶν, οἵτινες βραδύτερον ἡνώθησαν, ἐξαιρέσει τῶν τῆς Ἀθηνᾶς (*Δημοσθ. Τιμοκρ. 136*). Εἰς τὸν ναὸν τῆς Ἀθηνᾶς ἐφυλάττοντο καὶ τὰ χρήματα τῆς πόλεως, τὰ πρὸς σωτηρίαν αὐτῆς (*Θουκυδ. Β. 13*). Ἐπίσης μεγάλην δύναμιν εἶχεν ὁ ταμίας τῆς πόλεως (ἐπιστάτης τῆς κοινῆς προσόδου) ὅστις συνήθως ὑπέβαλεν εἰς τὴν βουλὴν προτάσεις περὶ νέων προσόδων. Παρὰ τοῖς ταμίαις ἦσαν συμβοηθοὶ οἱ *πορισταὶ* (*Δημοσθ. Φιλίππ. Α. 49, 15*). Ἰδιαίτεροι Ταμίαι, ὑπῆρχον διὰ τὰ δημόσια ἔργα, διὰ τὰς ἱερὰς τριήρεις (*Πολυδ. Η. 116 Δημοσθ. Μειδ. 171*), διὰ τὰ στρατιωτικὰ χρήματα (*Δημοσθ. Χερσον. 101*), οἱ δῆμοι καὶ αἱ φυλαί.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

507. α) *Εὔθυνοι — Πάρεδροι*. Κληροῦσι δὲ καὶ εὐθύνους ἕνα τῆς φυλῆς ἑκάστης, καὶ παρέδρους δύο τῶν εὐθύνων (*Ἀριστοτ. Ἀθην. Πολιτ. 48. 3 - 5*) καὶ κληροῦσιν οἱ βουλευταὶ λογιστὰς δέκα, τοὺς λογιουμένους ταῖς ἀρχαῖς κατὰ τὴν πρυτανείαν ἑκάστην (*Ἀριστοτ. Ἀθην. Πολιτ. 48. 3*), καὶ *συνηγόρους* τούτοις δέκα, πρὸς οὓς ἅπαντας ἀνάγκη τοὺς τὰς ἀρχὰς ἄρξαντας λόγον ἀπενεγκεῖν. οὗτοι γὰρ εἰσι μόνοι ⟨οἱ⟩ τοῖς ὑπευθύνοις λογιζόμενοι καὶ τὰς εὐθύνας εἰς τὸ δικαστήριον εἰσάγοντες. κἂν μέν τινα κλέπτοντ' ἐξελέγξωσι, κλοπὴν οἱ δικασταὶ καταγιγνώσκουσι καὶ τὸ γνωσθὲν ἀποτίνεται δεκαπλοῦν· ἐὰν δέ τινα δῶρα λαβόντα ἐπιδείξωσιν καὶ καταγνῶσιν οἱ δικασταί, δώρων τιμῶσιν, ἀποτίνεται δὲ καὶ τοῦτο δεκαπλοῦν· ἂν δ' ἀδικεῖν καταγνῶσιν, ἀδικίου τιμῶσιν, ἀποτίνεται δὲ τοῦθ' ἁπλοῦν ἐὰν πρὸ τῆς $\bar{\theta}$ πρυτανείας ἐκτείσῃ τις, εἰ δὲ μή, διπλοῦται. τὸ ⟨δὲ⟩ δεκαπλοῦν οὐ διπλοῦται (*Ἀριστοτ. Ἀθην. Πολιτ. 54. 2 καὶ 48. 3*). Ἦσαν ὑπεύθυνοι πάντες οἱ ἔχοντες ἀρχήν, ἤτοι οἱ στρατηγοί, οἱ πρέσβεις, οἱ ἄρχοντες μετὰ τῶν παρέδρων των, οἱ διαιτηταί, οἱ ἱερεῖς καὶ αἱ ἱέρειαι (*Αἰσχ. Κτησιφ. 56*), οἱ δημόσιοι γραμματεῖς (*Λυσίου — Νικομ. 5*), οἱ ἐπιμεληταὶ δημοσίων οἰκοδομῶν, οἱ τριήραρχοι, ἡ βουλὴ τῶν πεντακοσίων, καὶ ἐξ Ἀρείου Πάγου, ἀλλ' οὐχὶ καὶ οἱ λαϊκοὶ δικασταί. Ἕκαστος τῶν ἄνω ὑπευθύνων ὤφειλεν ἐντὸς 30 ἡμερῶν, ἀπὸ τῆς παύσεώς των, νὰ δώσουν λογοδοσίαν (*Ἁρποκρατ., Σουΐδα λεξ. λογισταί*). Ὁ ἀπολογισμὸς

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



τῶν εὐθύνων (β), *οἱ συνήγοροι σύνδικοι* (γ), *οἱ πράκτορες* (δ), *οἱ δέκα πωληταὶ* (ε), *οἱ δέκα ἀποδέκται* (στ), *οἱ ἐπιγραφεῖς* (ζ), *οἱ ἑλληνοταμίαι* (η), *οἱ τελῶναι*, ἤτοι οἱ ἐνοικιασταὶ τῶν δημοσίων προσόδων (θ) καὶ *οἱ ζητηταὶ ἢ μαστῆρες* (ι).

---

τοῦ ὑπευθύνου παρεδίδετο εἰς τὸν *λογιστὴν* ἐν ἀρχῇ, ἐὰν οὗτος ἀνεύρισκεν ἀνωμαλίας, ἢ ἐὰν ἡ ἁρμοδία ἀρχὴ ὑπέβαλε κατηγορίαν κατὰ τοῦ ὑπευθύνου, ἡ ὑπόθεσις μετεβιβάζετο εἰς τοὺς *εὐθύνους*, ἐὰν δὲ καὶ οὗτοι ἐβεβαιοῦντο ὅτι ὑπῆρχον ἀνωμαλίαι, διεβίβαζαν τὴν ὑπόθεσιν εἰς τὸ δικαστήριον, εἰς τὸ ὁποῖον ἐκάλει ὁ κήρυξ τὸν βουλόμενον νὰ κατηγορήσῃ (*Αἰσχιν. Κτησιφ. 23*). Τὸ δικαστήριον ἐκληροῦντο ὑπὸ τῶν λογιστῶν, μετεῖχον δ' αὐτοῦ καὶ οἱ εὔθυνοι (*Πολυδ. Η. 100*, ἴδε καὶ *Ἀνδροκίδ. Μυστηρ. 37*, καὶ *Λυσίου — Πολυστράτου*). Οἱ λογισταὶ ἐξήταζον καὶ τὴν διαγωγὴν τῶν ὑπευθύνων, ὅτε ἐὰν δὲν ὑπῆρχε κατηγορία τις ὠνομάζοντο ἀνεύθυνοι (*Πολυδ. Η. 54, Δημοσθ. — Περὶ στεφ. 310*). — β) *Πάρεδροι*. Ἴδε προηγουμένην σημείωσιν. — γ) *Συνήγοροι ἢ σύνδικοι*. Ἴδε σημείωσιν α' τοῦ παρόντος θέματος. Ἐκαλοῦντο καὶ εὔθυνοι, καὶ λογισταὶ καὶ συνήγοροι καὶ ἐξετασταὶ (*Ἀριστοτ. Πολιτικὰ ΣΤ'. 3*), ἐξελέγοντο ἀνὰ δέκα τοιοῦτοι κατ' ἔτος διὰ κλήρου ἢ χειρονίας (*Ἁρποκρατ. λ. συνήγοροι*), ὤφειλον δὲ νὰ ἐνεργήσωσιν ἐξ ἐπαγγέλματος πᾶσαν καταδίωξιν, ἐὰν τοῖς ὑπεδεικνύετο τοῦτο ὑπὸ τῶν λογιστῶν, νὰ ἐνεργήσωσι κατάσχεσιν ἢ δήμευσιν τῆς περιουσίας τῶν ὀφειλετῶν τοῦ δημοσίου, ἢ νὰ ἐπιληφθῶσι πάσης ἀξιώσεως τρίτου, ἔχοντος ἐμπράγματον δικαίωμα ἐπὶ τῆς δημευομένης περιουσίας, ἤτοι τοῦ *ἀνεπισκήμματος* (ἴδε *Λυσίου. Μαντιθέου 7*, τοῦ αὐτοῦ περὶ δημοσίων ἀδικημάτων, τοῦ αὐτοῦ, ὑπὲρ τῶν Ἀριστοφ. χρημάτων κ.τ.λ.). — δ) *Πράκτορες*. Ἐκαλοῦντο οἱ δημόσιοι ὑπάλληλοι, εἰς οὓς ἦτο ἀνατεθειμένη ἡ εἴσπραξις τῶν *ἐπιβολῶν καὶ τῶν τιμημάτων*, τῶν ὑπὸ τῶν δικαστηρίων ἢ τῶν ἀρχόντων ἐπιβαλλομένων. Οὗτοι, παραλαμβάνοντες τὸ γραμματεῖον, εἰς ὃ ἦσαν ἐγγεγραμμένοι οἱ ὀφειλέται, ἐνέγραφον τοῦτο εἰς σανίδας ἐν τῇ ἀκροπόλει, καὶ ἤσκουν *ἔνδειξιν* κατὰ παντὸς ἐξαλείφοντος ἐκ τοῦ πίνακος τούτου τὸ ὄνομα τοῦ ὀφειλέτου (*Ἁρποκρατ. λ. ἀγραφίου, Ἀνδοκίδ. Μυστηρ. 11, Δημοσθ. Θεοκρίν. 50*). Ἐὰν δὲν κατεβάλλετο ἡ ὀφειλὴ μέχρι τῆς ἐννάτης πρυτανείας, ἢ ἐντὸς ἕνδεκα ἡμερῶν ἐπὶ γραφῆς ὕβρεως, ἐδιπλασιάζετο αὕτη, καὶ αὖθις ἐνεγράφετο (*Αἰσχίν. Τιμάρχου, Δημοσθ. Πανταιν. 22*), ταύτην δὲ ἠκολούθει ἡ κατάσχεσις καὶ ἡ δήμευσις, τουναντίον ἐὰν κατεβάλλετο, παρεδίδετο ὑπὸ τῶν πρακτόρων εἰς τοὺς ἀποδέκτας ἢ εἰς τοὺς ταμίας τοῦ θεοῦ, ἢ τῆς θεᾶς, ἐὰν ἡ ἐπιβολὴ ἐγένετο ὑπὲρ αὐτῶν. — ε) *Πωληταί*. Δέκα μὲν εἰσί, κληροῦται δ' εἷς ἐκ τῆς φυλῆς. μισθοῦσι δὲ τὰ μισθώματα πάντα, καὶ τὰ μέταλλα πωλοῦσι..... καὶ τὰς οὐσίας τῶν ἐξ Ἀρείου πάγου φευγόντων καὶ τῶν ἄλλων ἐναντίον τῆς βουλῆς πωλοῦσιν.......ἀναγράφουσιν δὲ καὶ τὰ χωρία καὶ τὰς οἰκίας τ' ἀπογραφέντα καὶ πραθέντα ἐν τῷ δικαστηρίῳ· καὶ γὰρ ταῦθ' οὗτοι πωλ[οῦσιν. ἐστὶ] δὲ τῶν μὲν οἰκιῶν ἐν πέντε ἔτεσιν ἀνάγκη τὴν τιμὴν ἀποδοῦναι, τῶν δὲ χωρίων ἐν δέκα..... εἰσφέρει δὲ καὶ ὁ βασιλεὺς τὰς μισθώσεις τῶν τεμενῶν.... ἐστὶ δὲ καὶ τούτων ἡ μὲν μίσθωσις εἰς ἔτη δέκα.........ὅταν δ' ἢ χρημάτων καταβολή, παραδίδωσι τοῖς ἀποδέκταις..... τὰ δ' ἄλλα ἀπόκειται χωρὶς ἵνα μὴ προεξαλειφθῇ (*Ἀριστοτ. Ἀθην. Πολιτ. 47. 2 - 5, 52. 1*). — Οὗτοι ἐπώλουν τοὺς μὴ καταβαλόντας τὸ μετοίκιον μετοίκους (*Δημοσθ. Ἀριστογ. Α. 57*) ὡς καὶ τοὺς *παρεγγράπτους* ξένους (*Πολυδ. Η. 90, Ἁρποκρατ. λ. πωληταί*). — Διετήρουν οὗτοι ἀρχεῖον ὅπερ ἐκαλεῖτο *πωλητήριον*. — στ) *Ἀποδέκται*. Εἰσὶ δέκα κεκληρωμένοι κατὰ φυλάς· οὗτοι παραλαβόντες τὰ γραμματεῖα ἀπαλείφουσι τὰ καταβαλλόμενα χρήματα......καὶ πάλιν ἀποδιδόασιν τὰ γραμμα-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



508. *Λογοδοσία πάντων τῶν οἰκονομικῶν λειτουργῶν.* Ἐγγράφειν ὅτι οὔτ' ἔλαβον οὐδὲν τῶν τῆς πόλεως, οὔτ' ἀνήλωσα. Ἀνυπεύθυνον δὲ καὶ ἀζήτητον καὶ ἀνεξέταστον οὐδέν ἐστι τῶν ἐν τῇ πόλει.

---

τεῖα τῷ δημοσίῳ· κἂν τις ἐλλίπη καταβολήν, ἐνταῦθ' ἐγγέγραπται, καὶ διπλάσιον ἀνάγκη τὸ ἐλλειφθὲν καταβάλλειν ἢ δεδέσθαι κ.λπ. (*Ἀριστοτ. Ἀθηv. Πολιτ. 48. 1 - 2*). — Ἔκριναν καὶ ἀπεφαίνοντο ἐπὶ ἀμφισβητουμένων ὑποθέσεων, ἢ εἰσῆγον αὐτὰς εἰς δικαστήριον (*Πολυδ. Η. 97, Ἀριστοτ. Πολιτικὰ ΣΤ. 8, Δημοσθ. Τιμοκρ. 160 ἐπ. 198 ἐπ.*).— Οἱ ἀποδέκται ἐπεῖχον θέσιν εἰσπράκτορος. — ζ) *Ἐπιγραφεῖς.* Ἐκαλοῦντο οἱ καταγράφοντες τὴν ἀναλογοῦσαν ἑκάστῳ εἰσφορὰν (Ἴδε σημ. γ' καὶ η' τοῦ θέμ. 497. — *Πολυδ. Η. 103*). — η) *Ἑλληνοταμίαι.* Καὶ εἵλοντο οἱ πεντακισχίλιοι ταμίας τῶν ἱερῶν χρημάτων τῇ θεῷ καὶ τοῖς ἄλλοις θεοῖς δέκα καὶ ἑλληνοταμίας καὶ τῶν ἄλλων ὁσίων χρημάτων ἁπάντων εἴκοσιν οἱ διαχειροῦσιν....αἱρεῖσθαι δὲ πάντας τούτους ἐκ προκρίτων, ἐκ τῶν ἀεὶ βουλευόντων πλείους προκρίνοντας (*Ἀριστοτ. Ἀθηv. Πολιτ. 30. 2*). — Οὗτοι εἰσέπραττον τὰς συνεισφορὰς τῶν συμμάχων πόλεων, ἐν ἀρχῇ μὲν εἰς Δῆλον, καὶ ἐκεῖ ἐφύλαττον ταῦτα (*Ξενοφ. Πορσόδ. 5, Θουκυδ. Α'. 96, Ἀνδοκίδ. Εἰρήν. 38*) βραδύτερον δὲ εἰς Ἀθήνας (*Πλουτ. Ἀριστείδ. 25, Διοδώρ. ΙΒ'. 38*), καὶ ὕστερον αὖθις εἰς Σάμον. Οὗτοι κατέβαλλον τὰ ἀναγκαῖα χρήματα διὰ τοὺς πολέμους (*Πολυδ. Η. 114*). Εἰς τούτους ἀνετέθη ὕστερον ἡ εἴσπραξις τῶν θεωρικῶν καὶ στρατιωτικῶν. — θ) *Τελῶναι.* Ἦτοι οἱ ἐνοικιασταὶ τῶν δημοσίων προσόδων, οἵτινες ἐξεμίσθουν ταῦτα διὰ δημοπρασίας ὑπὸ τῶν πωλητῶν, ἐκαλοῦντο καὶ εἰκοστῶνται, πεντηκοστολόγοι κ.λπ. κατὰ λόγον τοῦ εἴδους τῶν μισθουμένων. Συνήθως τὸ ἔργον τοῦτο ἤσκουν οἱ μέτοικοι ἢ ἑταιρίαι, παρεῖχον δὲ πάντες ἀποχρώσας ἐγγυήσεις, καὶ προκατέβαλλον συνήθως τὴν πρώτην δόσιν. Ἦσαν ἀπηλλαγμένοι τῆς στρατιωτικῆς ὑπηρεσίας, ὑπεχρεοῦντο δὲ νὰ καταβάλλωσι τὰ τέλη εἰς τὸ βουλευτήριον καθ' ὡρισμένας προθεσμίας, πᾶσα καθυστέρησις τῆς καταβολῆς ἐπήγετο τὸν διπλασιασμὸν αὐτῆς, τὴν ἀτιμίαν αὐτοῦ, καὶ τὴν δήμευσιν τῆς περιουσίας του. Οἱ τελῶναι, ἐφρόντιζον νὰ μὴ εἰσάγωνται λάθρα ἐμπορεύματα, ἐπέβλεπον τὸν λιμένα, τὰς ἀγοράς, ἤσκουν τὴν *φάσιν* καὶ ἄλλας μηνύσεις κατὰ τῶν ἀποκρυπτόντων ἐμπορεύματα, συνελάμβανον τοὺς ἐνόχους καὶ προσῆγον εἰς τὸν ἄρχοντα, προσελάμβανον ἐνίοτε ὡς ὑπαλλήλους των *ἐκλογεῖς*, ἤτοι εἰσπράκτορας. Περὶ τούτων ἴδε λεπτομερείας ἐν Δημοσθένει κατὰ Τιμοκράτους. — ι) *Ζητηταὶ ἢ μαστῆρες.* Διωρίζοντο οὗτοι εἰς ἐκτάκτους περιστάσεις, ἵνα ἐξιχνιάσωσι τοὺς δημοσίους ὀφειλέτας καὶ τὰς καταχρήσεις αὐτῶν (*Ἁρποκρατ. Σουΐδα λ. ζητηταί, Πολυδ. Η. 115.*). Ἑλέσθαι ζητητὰς τῶν ὀφειλόντων τῇ πόλει καὶ ἀποπειρωμένων διαλαθεῖν καὶ τούτους μηνύειν (*Δημοσθ. Τιμοκρ. ὑπόθ. 696*). Καθήκοντα ζητητοῦ ἤσκει ἐνίοτε ὁ Ἄρειος Πάγος καὶ πᾶς Ἄρχων (*Δειναρχ. Δημοσθ. 3, 50, 55*). Οἱ ζητηταὶ ὤφειλον νὰ παραδώσωσιν εἰς τὰς ἁρμοδίας ἀρχὰς πάντας τοὺς ὁπωσδήποτε ἀποκρύπτοντάς τι, ἐβοηθοῦντο δὲ πρὸς τοῦτο ἀπὸ τοὺς δημοσίους συνηγόρους.

508. Ἀλλ' ἔστι τις ἄνθρωπος, ὃς οὔτ' εἴληφεν οὐδὲν τῶν δημοσίων οὔτ' ἀνήλωκε, προσῆλθε δὲ πρός τι τῶν κοινῶν. Καὶ τοῦτον ἀποφέρειν κελεύει λόγον πρὸς τοὺς λογιστάς. Καὶ πῶς ὅ γε μηδὲν λαβὼν μηδ' ἀναλώσας ἀποίσει λόγον τῇ πόλει; αὐτὸς ὑποβάλλει καὶ διδάσκει ὁ νόμος ἃ χρὴ γράφειν· κελεύει γὰρ αὐτὸ τοῦτο ἐγγράφειν, ὅτι «οὔτ' ἔλαβον οὐδὲν τῶν τῆς πόλεως οὔτ' ἀνήλωσα». Ἀνυπεύθυνον δὲ καὶ ἀζήτητον καὶ ἀνεξέταστον οὐδέν ἐστι τῶν ἐν τῇ πόλει (*Αἰσχίν. Κτησιφ. 22*).

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



509. *Εὐθῦναι τῶν λογοδοτούντων*. Τὸν ὑπεύθυνον, τὴν οὐσίαν μὴ καθιεροῦν, μηδὲ ἀνάθημα ἀναθῆναι, μηδὲ ἐκποίητον γενέσθαι, μηδὲ διαθέσθαι τὰ ἑαυτοῦ.

510. Ἀρχὴν ὑπεύθυνον μὴ ἀποδημεῖν. (α). Μηδὲ στεφανοῦν (β).

511. Τὸν αὐτὸν μὴ ἄρχειν, ὑπεύθυνον ὄντα, ἑτέρας ἀρχῆς (α). Ἐὰν τις ὀφείλων ἄρχῃ τῷ δημοσίῳ, θάνατον ζημίαν εἶναι.

512. Ἀπ' ἐκείνης τῆς ἡμέρας ὀφείλειν, ἀφ' ἧς ἂν ὄφλῃ, ἐάν τε ἐγγεγραμμένος ᾖ ἐάν τε μή.

513. Τὸν ὀφείλοντα τῷ δημοσίῳ μὴ πολιτεύεσθαι.

514. Τὸν ὀφείλοντα τῷ δημοσίῳ ἄτιμον εἶναι

515. Τὰ τρία τῆς οὐσίας μέρη τῷ ἰδιώτῃ, τῷ ἀπογράψαντι γίγνεσθαι.

516. Ἀπαλείφειν τοὺς ἐγγεγραμμένους ἀπὸ τοῦ ὀφλήματος, καθ' ὅ τι ἂν ἐκτίνῃ.

517. Τὸν οὐ δικαίως ἐγγεγραμμένον, ἐξαλείφεσθαι. Τὸν δ' οὐ δικαίως αὐτὸν ἐγγεγραφότα, ἀντιγράφεσθαι.

---

509. *Αἰσχίν. Κτησιφ. 21.*

510. α) *Αἰσχίν. Κτησιφ. 21.* — β) Πολλοὶ γὰρ πάνυ τῶν ὑπευθύνων, ἐπ' αὐτοφώρῳ κλέπται τῶν δημοσίων χρημάτων ὄντες ἐξελεγχόμενοι, διεφύγγανον ἐκ τῶν δικαστηρίων, εἰκότως· ἠσχύνοντο γὰρ οἶμαι οἱ δικασταί, εἰ φανήσεται ὁ αὐτὸς ἀνὴρ ἐν τῇ αὐτῇ πόλει, τυχὸν δὲ καὶ ἐν τῷ αὐτῷ ἐνιαυτῷ, πρώην μέν ποτε ἀναγορευομένους ἐν τοῖς ἀγῶσιν, ὅτι στεφανοῦνται ἀρετῆς ἕνεκα καὶ δικαιοσύνης ὑπὸ τοῦ δήμου χρυσῷ στεφάνῳ, ὁ δὲ αὐτὸς ἀνὴρ μικρὸν ἐπισχὼν ἔξεισιν ἐκ τοῦ δικαστηρίου κλοπῆς (ἕνεκα τὰς εὐθύνας) ὠφληκώς· ὥστε ἠναγκάζοντο τὴν ψῆφον φέρειν οἱ δικασταὶ οὐ περὶ τοῦ παρόντος ἀδικήματος, ἀλλ' ὑπὲρ τῆς αἰσχύνης τοῦ δήμου. κατιδὼν δέ τις ταῦτα νομοθέτης τίθησι νόμον καὶ μάλα καλῶς ἔχοντα, τὸν διαρρήδην ἀπαγορεύοντα τοὺς ὑπευθύνους μὴ στεφανοῦν (*Αἰσχίν. Κτησιφ. 10 ἐπ. 20*).

511. α) *Αἰσχίν. Κτησιφ. 21, 31.* — β) Ταὐτὸν τῷ θέματι 251. Ἐὰν δὲ ἁλῷ, ἔνοχος ἔστω τῷ νόμῳ, ὃς κεῖται, ἐάν τις ὀφείλων ἄρχῃ τῷ δημοσίῳ, θάνατον λέγει· τοῦτο γὰρ ἐστ' ἐπ' ἐκείνῳ τὸ ἐπιτίμιον (*Δημοσθ. Λεπτίνην*).

512. *Δημοσθ. Θεοκριν. 22, κατ' Ἀριστογείτονος.*

513. *Δημοσθ. Ἀριστογ. Β'. 1, κατ' Ἀριστογ. Α. 30, 70.*

514. Οἱ ὀφειλέται τοῦ δημοσίου ἐκηρύσσοντο ἄτιμοι καὶ ἐδημεύετο ἡ περιουσία των. (*Αἰσχίν. Τιμάρχου*).

515. Ὁ μηνύων ὀφειλέτην τοῦ δημοσίου ἐλάμβανε τὸ τρίτον τῶν δημευθέντων κτημάτων του.

516. Ἐξηλείφετο τὸ χρέος τοῦ ὀφειλέτου, κατὰ τὸ μέρος τῶν παρ' αὐτοῦ καταβληθέντων. — Εἶχον δ' ἐξουσίαν οἱ ταμίαι καὶ ζημίαν ἀφελεῖν, εἰ ἀδίκως ὑπὸ τῶν ἀρχόντων ἐπιβληθείη (*Πολυδ. Η. 97*).

517. Ὁ ψευδῶς καταμηνύων τινά, κατεδιώκετο ἐπὶ ψευδεγγραφῇ, καὶ κατεγράφετο τὸ ὄνομα αὐτοῦ ὡς ὀφειλέτου.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



518. *Ποιναὶ τῶν ὀφειλετῶν τοῦ δημοσίου*. Μὴ ἐκτιθέντος τοῦ ὀφλήματος ἐπὶ τῆς ἐννάτης Πρυτανείας, διπλοῦν ἔσεσθαι τὸ ὄφλημα.

519. Ἔνδειξιν εἶναι κατὰ τοῦ ὀφείλοντος καὶ μὴ ἐγγεγραμμένου.

520. Ἐάν τις τῶν ὀφειλόντων τῷ δημοσίῳ μὴ ἐκτίσας τὸ ὄφλημα τῇ πόλει, ἐξαλειφθῇ, εἶναι κατ' αὐτοῦ τὰς γραφὰς πρὸς τοὺς θεσμοθέτας τοῦ ἀγραφίου.

521. Τὸν ἐξελεγχθέντα ὀφείλοντα τῷ δημοσίῳ, λέγειν ἐν τῷ δήμῳ παραδίδοσθαι τοῖς Ἕνδεκα.

522. Εἴ τις ὀφείλων, πρὸ τῆς ἐκτίσεως τελευτήσῃ, τοὺς παῖδας ἀποδιδόναι τὸ ὄφλημα, εἰ δὲ μὴ καὶ αὐτοὺς ἀτίμους εἶναι, ἕως ἂν ἀποδῶσι.

523. Τὸν χρησάμενον δημοσίοις χρήμασιν ἐπ' ἐνιαυτὸν ὅλον, διπλάσια ταῦτα διδόναι, τὸν δὲ ὀφείλοντα ἐπὶ τοῦ δευτέρου ἐνιαυτοῦ δεδέσθαι, ἕως ἂν ἐκτίσῃ.

524. Τοὺς ἔχοντας τά τε ἱερὰ καὶ τὰ ὅσια χρήματα, καταβάλλειν εἰς τὸ βουλευτήριον, εἰ δὲ μὴ τὴν βουλὴν αὐτοὺς εἰσπράττειν, τοῖς νόμοις χρωμένη τοῖς τελωνικοῖς.

525. Μηδὲ περὶ τῶν ἀτίμων, ὅπως καὶ ἐπιτίμους αὐτοὺς εἶναι, μηδὲ περὶ τῶν ὀφειλόντων τοῖς θεοῖς ἢ τῷ δημοσίῳ τῶν Ἀθηναίων περὶ ἀφέσεως τοῦ ὀφλήματος ἢ τάξεως, ἐὰν μὴ ψηφισαμένων Ἀθηναίων τὴν ἄδειαν πρῶτον μὴ ἔλαττον ἑξακισχι-

---

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

518. *Δημοσθ. Ἀριστογείτονος*. — Οἱ τῷ δήμῳ χρήματα ὀφείλοντες ἐκ καταδίκης καὶ μὴ ἀποδίδοντες μέχρι τῆς ἐννάτης Πρυτανείας, εἰς τὸ δεσμωτήριον ἀπεκλείοντο, μήτ' ἐγγυητὰς καταστῆσαι δυνάμενοι τοῦ ὀφλήματος (*Σουΐδας*).

519. Διὰ τῆς ἐνδείξεως κατεδιώκοντο οἱ μετέχοντες εἰς δημοσίαν ὑπηρεσίαν, ἐνῷ ἦσαν ὀφειλέται τοῦ δημοσίου.

520. *Ἀγραφίου δίκη:* τῶν ἐκ καταδίκης ὠφληκότων τῷ δημοσίῳ γράφουσι τὰ ὀνόματα ἐν σανίσιν οἱ κατὰ καιρὸν περὶ τούτων διοικοῦντες, προστιθέντες ἀνὰ πόσον ἐστὶ τὸ ὄφλημα .... ἐὰν οὖν τις ἀναγραφῇ μὲν ὠφληκέναι, δόξῃ δὲ μὴ ἀποδεδωκέναι, καὶ τὸ ὄνομα αὐτοῦ ἐξηλειμμένον ᾖ ἐκ τῆς σανίδος, συγκεχώρηται τῷ βουλομένῳ τῶν ἀστῶν εἰσάγειν κατὰ αὐτοῦ δίκην ἀγραφίου (*Σουΐδας, Δημοσθ. Θεοκρ. 51*). Ἄλλως ἐν τῷ ρωμ. δικ. ν. 1 ἐπ. Κ. 11. 58.

521. Ὁ ὁμιλῶν ἐνώπιον τοῦ λαοῦ, παραδίδοται εἰς τοὺς Ἕνδεκα, ἐὰν εἶναι ὀφειλέτης τοῦ δημοσίου (*Δημοσθ. Θεοκρίν. 51 κ.λπ.*).

522. Περὶ μὲν τοίνυν τοῦ νόμου, καθ' ὃν ὠφληκότος αὐτοῦ τοῦ πατρὸς τῷ δημοσίῳ χρήματα καὶ οὐκ ἐκτετικότος οὐκ ἔξεστι λέγειν οὐδὲ γράφειν τούτῳ....... κληρονόμον γάρ σε καθίστησιν ὁ νόμος τῆς ἀτιμίας τῆς τοῦ πατρός, ὄντι δ' ἀτίμῳ σοι λέγειν οὐ προσῆκεν οὐδὲ γράφειν (*Δημοσθ. Ἀνδροτίων 33*).

523. Ὁ χρησιμοποιῶν δημόσια χρήματα, κατὰ μὲν τὸ πρῶτον ἔτος ὀφείλει νὰ καταβάλῃ τὰ διπλᾶ, κατὰ δὲ τὸ δεύτερον ἔτος φυλακίζεται μέχρις ἀποπληρωμῆς.

524. Δεσμὸν καὶ διπλασίαν ἠπείλει ὁ τῶν τελωνικῶν νόμος (*Οὐλπιανός*).

525. α) Ταὐτὸν τῷ θέματι 77 τοῦ παρόντος. — β) Καὶ εἴ τινι τῶν ὀφειλόντων τῷ δημοσίῳ προστετίμηται κατὰ νόμον ἢ κατὰ ψήφισμα δεσμοῦ ἢ τὸ λοιπὸν προστιμηθῇ, εἶναι αὐτῷ ἢ ἄλλῳ ὑπὲρ ἐκείνου ἐγγυητὰς καταστῆσαι τοῦ ὀφλήματος, οὓς ἂν ὁ δῆμος χειροτονήσῃ, ἦ μὴν ἐκτίσειν

Ακαδημία Αθηνών / Academy of Athens

λῶν, οἷς ἂν δόξῃ κρύβδην ψηφιζομένοις· τότε δ' ἐξεῖναι χρηματίζειν καθ' ὅ τι ἂν τῇ βουλῇ καὶ τῷ δήμῳ δοκῇ. Ἐὰν δέ τις ἱκετεύῃ ἐν τῇ βουλῇ ἢ ἐν τῷ δήμῳ περὶ ὧν δικαστήριον ἢ ἡ βουλὴ ἢ ὁ δῆμος κατέγνω, ἐὰν μὲν οὗτος ὀφλὼν ἱκετεύῃ πρὶν ἐκτῖσαι, ἔνδειξιν εἶναι αὐτοῦ, καθάπερ ἐάν τις ὀφείλων τῷ δημοσίῳ ἡλιάζηται· ἐὰν δ' ἄλλος ὑπὲρ τοῦ ὠφληκότος ἱκατεύῃ πρὶν ἐκτῖσαι, δημοσία ἔστω αὐτοῦ ἡ οὐσία ἅπασα. ἐὰν δέ τις τῶν προέδρων δῷ τινὶ τὴν ἐπιχειροτονίαν ἢ αὐτῷ τῷ ὠφληκότι, ἢ ἄλλῳ ὑπὲρ ἐκείνου, πρὶν ἐκτῖσαι, ἄτιμος ἔστω (α) καὶ τοὺς ἐγγυτὰς ὑπευθύνους εἶναι (β).

## ζ'. Διάφοροι Ὑπηρεσίαι

526. Ἐν ταῖς ὑπηρεσίαις καταλέγονται, οἱ *γυναικονόμοι* (α), οἱ *σωφρονισταὶ* (β), οἱ *ἐπίσκοποι - φύλακες*, (γ) οἱ *ναυφύλακες* (δ), οἱ *Κρηνοφύλακες* (ε), οἱ *οἰνόπται* (στ), οἱ *πυλαγόροι* (ζ), οἱ *τειχοποιοὶ* (η), οἱ *ἀπογραφεῖς* (θ), οἱ *ἀποστολεῖς* (ι), καὶ οἱ *πρέσβεις* (ια).

---

τὸ ἀργύριον ὃ ὦφλε. τοὺς δὲ προέδρους ἐπιχειροτονεῖν ἐπάναγκες, ὅταν τις καθιστάναι βούληται τῷ δὲ καταστήσαντι τοὺς ἐγγυητάς, ἐὰν ἀποδιδῷ τῇ πόλει τὸ ἀργύριον ἐφ' ᾧ κατέστησε τοὺς ἐγγυητάς, ἀφεῖσθαι τῶν δεσμῶν, ἐὰν δὲ μὴ καταβάλῃ τὸ ἀργύριον ἢ αὐτὸς ἢ οἱ ἐγγυηταὶ ἐπὶ τῆς ἐνάτης πρυτανείας, τὸν μὲν ἐξεγγυηθέντα δεδέσθαι, τῶν δὲ ἐγγυητῶν δημοσίαν εἶναι τὴν οὐσίαν. περὶ δὲ τῶν ὠνουμένων τὰ τέλη καὶ τῶν ἐγγυωμένων καὶ ἐκλεγόντων, καὶ τῶν τὰ μισθώσιμα μισθουμένων καὶ τῶν ἐγγυωμένων, τὰς πράξεις εἶναι τῇ πόλει κατὰ τοὺς νόμους τοὺς κειμένους. ἐὰν δ' ἐπὶ τῆς ἐνάτης πρυτανείας ὄφλῃ, τοῦ ὑστέρου ἐνιαυτοῦ ἐπὶ τῆς ἐνάτης ἢ δεκάτης πρυτανείας ἐκτίνειν (*Δημοσθ. Τιμοκρ. 39 ἐπ.*).

526. α) *Γυναικονόμοι* ἢ *γυναικόκοσμοι*. Ἐξελέγοντο οὗτοι ἀριστίνδην ὑπὸ τῶν Τριάκοντα (*Πολυδ. Η. 112, Ἀριστοτ. Πολιτικὰ Δ. 12, ΣΤ'. 5, Πλουτ. Σόλων 21*), οἳ ἐζημίουν τὰς ἀκοσμούσας, καὶ τὰς ζημίας αὐτῶν γράφοντες ἐξετίθεσαν ἐπὶ τῆς πλατάνου τῆς ἐν Κεραμεικῷ (*Πολυδ. αὐτόθι, Ἁρποκρατ. λ. χιλίας, Ἡσυχίου λ. πλάτανος*), καὶ ἐπέβλεπον μετὰ τῶν Ἀρεοπαγιτῶν τοὺς εἰς συμπόσια καὶ ἑορτὰς καλουμένους, ὅπως μὴ ὑπερβαίνωσι τοὺς τριάκοντα (*Ἀθήν. ΣΤ'. 245*), καὶ ἐτιμώρουν τὰς ἀμυχαῖς κοπτομένας καὶ θρηνούσας καὶ κωκυούσας ἐν ταφαῖς (*Πλουτ. Σόλ. 21*). — β) *Σωφρονισταί*. Δέκα ἀνὰ εἷς ἐξ ἑκάστης φυλῆς, κατ' ἔτος ἐκλεγόμενοι, λαμβάνοντες μίαν δραχμὴν καθ' ἡμέραν ὑπὸ τοῦ δήμου ἢ τοῦ Ἀρείου Πάγου, οἵτινες ὤφειλον νὰ ἐπιβλέπωσι τοὺς νέους καὶ ἰδίᾳ κατὰ τὰ γυμνάσια, καὶ νὰ διδάσκωσιν αὐτοῖς τὴν σωφροσύνην (*Δεινάρχ. Φιλοκλ. 15, Ἀριστοτ. Ἀθηγ. Πολιτ. 42. 2 καὶ 3*). Ἐκαλοῦντο καὶ *Ἐπιμεληταὶ τῶν ἐφήβων*, παρὰ τούτοις ὑπηρέτουν καὶ *κοσμηταὶ* καὶ *παιδοτρίβαι*, οἵτινες ἐδίδασκον ὁπλομαχεῖν καὶ τοξεύειν καὶ ἀκοντίζειν (*Ἀριστοτ. αὐτ.*). — γ) *Ἐπίσκοποι — φύλακες*. Ἤτοι οἱ ἐπιθεωρηταί, ἐκπεμπόμενοι ὑπὸ τῶν Ἀθηναίων εἰς ὑπηκόους πόλεις, καὶ λαμβάνοντες μισθὸν ὑπ' αὐτῶν (*Ἁρποκρατ. λ. ἐπίσκοπος, Ἀριστοφ. Ὀρνιθ. 1022, Ἀντιφῶντ. Λαισποδ. καὶ Λινδ. φόρου, ἀποσπάσμ. VIII καὶ IX*). — δ) *Ναυφύλακες*. Οἱ φυλάττοντες τὰ πλοῖα (*Ἀρισ. ἀπόσπ. 339*). — ε) *Κρηνοφύλακες*. Ἐπιμεληταὶ κρηνῶν, οἵτινες ἐχειροτονοῦντο (*Ἀριστοτ.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



## η΄. Δικαιώματα καὶ ὑποχρεώσεις τῶν ὑπαλλήλων ἐν γένει

527. Αἱ ἀρχαὶ ἦσαν κληρωταὶ ἢ χειροτονηταὶ ἢ αἱρεταί.

528. Τὰς χειροτονητὰς ἀρχὰς ἁπάσας καὶ τοὺς *ἐπιστάτας τῶν δημοσίων ἔργων*, καὶ πάντας ὅσοι διαχειρίζονταί τι τῶν τῆς πόλεως, πλέον ἢ τριάκονθ' ἡμέρας, καὶ ὅσοι λαμβάνουν ἡγεμονίας δικαστηρίων ἄρχειν, δοκιμασθέντας ἐν τῷ δικαστηρίῳ, καὶ λόγον καὶ εὐθύνας ἐγγράφειν πρὸς τὸν γραμματέα καὶ τοὺς λογιστάς, καθάπερ καὶ τὰς ἄλλας ἀρχάς.

529. Ἐνιαυτὸν διαλιπόντα ἕκαστον λειτουργεῖν (α). Ταμιῶν (β).

530. *Διπλαῖ ὑπηρεσίαι*. Δὶς μὴ ἄρχειν τὴν αὐτὴν ἀρχὴν τὸν αὐτὸν ἐν τῷ αὐτῷ ἐνιαυτῷ, μηδὲ δύο ἀρχὰς ἄρξαι τὸν αὐτὸν ἐν τῷ αὐτῷ ἐνιαυτῷ (α). Δὶς οὐκ ἐξεῖναι

---

*Ἀθην. Πολιτ. 43. 1*). — στ) *Οἰνόπται*. Οὗτοι ἀρχή τις εὐτελὴς ἦν ἐν Ἀθήναις, οἳ ἐφεώρων τὰ ἐν τοῖς δείπνοις, εἰ κατ' ἴσον πίνουσιν οἱ συννόντες (*Ἀθήν. 10. 425*). — ζ) *Πυλαγόραι*. Οὗτοι ἐξελέγοντο ἐτησίως ἐν Ἀθήναις, καὶ ἀπεστέλλοντο εἰς τὸ Ἀμφικτυονικὸν συνέδριον. — η) *Τειχοποιοί*. Δέκα ἐκλεγόμενοι διὰ χειροτονίας δι' ἓν ἔτος ἐξ ἑκάστης φυλῆς. Εἰς τούτους ἦτο ἀνατεθειμένη ἡ ἐπισκευὴ τῶν δημοσίων κτιρίων καὶ τειχῶν καὶ ἰδίᾳ τῶν μακρῶν. Καλοῦνται καὶ *ἐπιστάται τοῦ μεγίστου τῶν ἔργων*, εἶχον ἰδιαίτερον ταμίαν, ἐλογοδότουν καὶ διὰ τὴν διαχείρισιν καὶ διὰ τὴν ἐκτέλεσιν τῶν καθηκόντων των, καὶ ἐθεωροῦντο ὡς παράγοντες ἐν τῇ πολιτείᾳ. — Ὁ δῆμος χειροτονεῖ καὶ τοὺς ἐπιστάτας τῶν δημοσίων ἔργων.... ἔστι δὲ ὁ Δημοσθένης τειχοποιὸς .....οἱ δὲ τῶν ἔργων ἐπιστάται πάντες ἡγεμονίᾳ χρῶνται δικαστηρίου κ.λπ. (*Αἰσχίν. Κτησιφ. 14, 17, 28. 31*). — θ) *Ἀπογραφεῖς*. Οἱ ἀπογράφοντες τὰ ὑπὸ δήμευσιν κτήματα. — ι) *Ἀποστολεῖς*. Δημόσιοι ὑπάλληλοι δέκα τὸν ἀριθμόν, οἵτινες ἦσαν ἐπιφορτισμένοι νὰ ἐξελέγχωσι τὰ ὑπὸ τῶν τριηράρχων ἐξοπλιζόμενα πλοῖα, δικαιούμενοι νὰ φυλακίζωσι τούτους διὰ πᾶσαν ἀμέλειαν περὶ ταῦτα (*Δημοσθ. Περὶ Στεφάν. 262, Πολυδ. Η. 99*). Συνειργάζοντο μετὰ τῶν ἐπιμελητῶν τῶν νεωρείων (*Δημοσθ. Εὐεργ. Μνησιβ. 29*). — ια) *Πρέσβεις*. Ἐχειροτονοῦντο ὑπὸ τοῦ δήμου (*Θουκυδ. Ε΄. 45, Αἰσχίν. Κτησιφ. 62, περὶ παραπρεσβ. 62*). Οὗτοι ὤφειλον νὰ λογοδοτήσουν καὶ διὰ τὰς ὑπ' αὐτῶν γενομένας δαπάνας, καὶ διὰ τὸ ὑπ' αὐτῶν συντελεσθὲν ἔργον (*Δημοσθ. Παραπρεσβ. 267, 342, 406, Ἀριστοφ. Ἀχαρν. 61*). — Ἡ τυχὸν πλημμελὴς διαγωγὴ αὐτῶν περὶ τὴν ἄσκησιν τῶν καθηκόντων των ἐκαλεῖτο *παραπρεσβεία*, ἠδύνατο δὲ πᾶς ἰδιώτης νὰ ὑποβάλῃ μήνυσιν διὰ γραφῆς, ἥτις διεξήγετο ἐπιμελείᾳ τῶν λογιστῶν (*Πολυδ. Η. 40, 45*). Ἀλλὰ καὶ δι' εἰσαγγελίας ἠδύνατο νὰ καταδιωχθῇ ὁ παραβάτης (*Αἰσχίν. Κτησιφ. 79*).

527. Ἴδε ἀνωτέρω θέμα 382.

528. Οἱ ὑπὲρ τὰς τριάκοντα ἡμέρας διαχειριζόμενοι, δὲν δύνανται ν' ἀναλάβουν τὴν ὑπηρεσίαν των, ἐὰν δὲν δοκιμασθοῦν, περαίνοντες δ' αὐτὴν λογοδοτοῦσιν ἐνώπιον τῶν λογιστῶν καὶ τοῦ γραμματέως.

529. α) Αἱ δημόσιαι λειτουργίαι δίδονται δι' ἓν ἔτος (*Δημοσθ. Λεπτίν. 21*). — β) Γνώμη τοῦ δήμου χειροτονεῖσθαι τὸν ταμίαν. Μὴ πλείω πέντε ἐτῶν διέπειν τὸν χειροτονηθέντα ἐπὶ τὰ δημόσια χρήματα (*Πλουτ. Λυκούργου*).

530. α) Φαῦλον ἂν δόξειεν εἶναι καὶ τὸ πλείους ἀρχὰς τὸν αὐτὸν ἄρχειν, ὅπερ εὐδοκιμεῖ παρὰ τοῖς Καρχηδονίοις· ἓν γὰρ ὑφ' ἑνὸς ἔργον ἄριστ' ἀποτελεῖται· καὶ πολιτικώτερον, πλείο-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



γενέσθαι τὸν αὐτὸν Ἐπιστάτην (β). Ἄν τις ἀστυνομήσῃ δὶς (γ). Μὴ ἐξεῖναι χειροτονηθέντα ὑπὸ τοῦ δήμου σύνδικον πλέον ἢ ἅπαξ συνδικῆσαι (δ). Ὑπογραμματεῦσαι οὐκ ἔξεστι δὶς τὸν αὐτὸν ἐν τῇ αὐτῇ ἀρχῇ (ε).

531. *Ἀπαλλαγαὶ ὑπηρεσιῶν.* Τὰς ἐκ τοῦ δήμου χειροτονίας ἐν τῇ βουλῇ μὴ ἐξόμνυσθαι (α). Μὴ δύο λειτουργίας λειτουργεῖν (β).

532. Εἴ τις ἐπιχειροίη τυραννεῖν, θάνατον εἶναι τὴν ζημίαν.

533. Ὅς ἂν ἄρξῃ ἐν τῇ πόλει τῆς δημοκρατίας καταλυθείσης, νηποινεὶ τεθνάναι, καὶ τὸν ἀποκτείνοντα ὅσιον εἶναι καὶ τὰ χρήματα ἔχειν τοῦ ἀποθανόντος.

534. Ἐάν τις ἀρχὴν ἐν συνεδρίῳ λοιδορῇ, ζημιοῦσθαι (α). Ἐάν τις θεσμοθέτην ἢ ἄρχοντα ἐστεφανωμένον, ἤ τινα τούτων, οἷς ἄν ἡ πόλις τινὰ ἄδειαν ἢ στεφανηφορίαν, ἤ τινα τιμὴν δῷ, ὑβρίσῃ τις ἢ πατάξῃ, ἢ κακῶς εἴπῃ, ἄτιμος ἔστω καθάπαξ (β).

## θ΄. Θρησκευτικαὶ διατάξεις

535. *Θρησκευτικαὶ διατάξεις. Θυσίαι.* Θεοῖς καρποῖς ἀγάλλειν (α). Πρόβατον καὶ δραχμὴν ἀντὶ μεδίμνου. Πρόβατον καὶ δραχμὰς ιη΄ ἀντὶ μεδίμνου (β). Ταῖς νουμηνίαις θύειν (γ). Βοὰς μὴ καταθύειν (δ).

---

νας μετέχειν τῶν ἀρχῶν, καὶ δημοτικώτερον (*Ἀριστοτ. Πολιτικὰ Β΄*.). — β) Ἴδε ἀνωτέρω θέματα 429 καὶ 445. — γ) Δὲν ἠδύνατό τις ν' ἀστυνομήσῃ δίς. Ἀστυνόμοι δέκα· τούτων δὲ ε̄ ἄρχουσιν ἐν Πειραιεῖ, πέντε δ' ἐν ἄστει (*Ἀριστοτ. Ἀθην. Πολιτ. 50. 2*). — δ) *Ἰσαίου — Κατ' Ἐλπαγόρου καὶ Δημοφάν. ἀπόσπ. XI.* — ε) Γραμματεὺς ὁ κατὰ πρυτανείαν κληρωθεὶς ὑπὸ τῆς βουλῆς ἐπὶ τῷ [[τὰ]] γράμματα φυλάττειν καὶ ψηφίσματα, καὶ ἕτερος ἐπὶ τοὺς νόμους ὑπὸ τῆς βουλῆς χειροτονούμενος. ὁ δ' ὑπὸ τοῦ δήμου αἱρεθεὶς [γραμματεύς], ἀναγινώσκει τῷ τε δήμῳ καὶ τῇ βουλῇ (*Πολυδ. Η. 92, 98, 102*).

531. α) Ἐξωμοσία δέ, ὅταν τις ἢ πρεσβευτὴς αἱρεθεὶς ἢ ἐπ' ἄλλην τινὰ δημοσίαν ὑπηρεσίαν, ἀρρωστεῖν ἢ ἀδυνατεῖν φάσκων ἐξομνύηται αὐτὸς ἢ δι' ἑτέρου (*Πολυδ. Η. 55*) — Ἄλλως δὲν ἠδύνατο νὰ παραιτηθῇ ὁ χειροτονούμενος ὑπὸ τοῦ λαοῦ. — β) *Δημοσθ. Πολυκλ. 58.*

532. Ταὐτὸν θέματι 241.

533. Ταὐτὸν τῷ θέματι 242.

534. α) Ταὐτὸν θέματι 250. — β) Ταὐτὸν θέματι 249.

535. α) Νόμος τοῦ Τριπτολέμου (*Πορφύριος*). Αἱ θυσίαι ἐν ἀρχῇ ἐγένοντο διὰ φυτῶν, ἐκριζουμένων καὶ καιομένων μετὰ τῶν καρπῶν καὶ τῶν φύλλων των, εἶτα ἐγένοντο δι' ἀρωμάτων καὶ τέλος διὰ ζῴων. Θεσμὸς αἰώνιος τοῖς Ἀτθίδα νεμομένοις κύριος τὸν ἅπαντα χρόνον θεοὺς τιμᾶν καὶ ἥρωας ἐγχωρίους ἐν κοινῷ, ἐμποινίμοις νόμοις πατρίοις ἰδίᾳ, κατὰ δύναμιν σὺν εὐφημίᾳ καὶ ἀπαρχαῖς καρπῶν πελάνους ἐπαιτίους. Καὶ πρῶτον μὲν τὰ περὶ τοὺς θεούς, ἐντεῦθεν γὰρ ἄρχεσθαι δίκαιον, οὐκ ἀνωμάλως οὐδ' ἀτάκτως οὔτ' ἐθεράπευον οὔτ' ὠργίαζον· οὐδ' ὁπότε μὲν δόξειεν αὐτοῖς, τριακοσίους βοῦς ἔπεμπον, ὁπότε δὲ τύχοιεν, τὰς πατρίους θυσίας ἐξέλειπον· οὐδὲ τὰς μὲν ἐπιθέτους ἑορτάς, αἷς ἑστίασίς τις προσείη, μεγαλοπρεπῶς ἦγον, ἐν δὲ τοῖς ἁγιωτάτοις τῶν ἱερῶν ἀπὸ μισθωμάτων ἔθυον· ἀλλ' ἐκεῖνο μόνον ἐτήρουν, ὅπως μηδὲν μήτε τῶν

Ακαδημία Αθηνών / Academy of Athens



536. Τοὺς ἐκ θυσίας ἰόντας, φέρειν ἐξ αὐτῆς τῆς θυσίας τοῖς οἰκείοις (α). Τὰ ὑπολειπόμενα τῆς θυσίας τοὺς ἱερέας λαμβάνειν (β).

537. Ναοὶ τὸν ἁλόντα θακεύοντα ἐν τῷ τεμένει τοῦ Ἀπόλλωνος ἑαυτὸν αἰτιᾶσθαι, καὶ θνήσκειν.

538. Τοῖς δευτεροπότμοις μὴ ἐξεῖναι εἰσιέναι εἰς τὸ ἱερὸν τῶν σεμνῶν θεῶν.

539. Τοὺς ἱκέτας εἶναι ἀσφαλεῖς (α). Ἱερείων τιμαὶ (β).

## ι΄. Ἑορταὶ - Ἀγῶνες

540. *Ἑορταὶ - Ἀγῶνες.* Ἁπάντων τῶν Ἀθηναίων ἀγόντων ἱερομηνίαν, μήτ' ἰδίᾳ, μήτε κοινῇ, μηδὲν ἀλλήλους ἀδικεῖν ἐν τούτῳ τῷ χρόνῳ, μηδὲ χρηματίζειν, ὅ τι ἂν μὴ περὶ τῆς ἑορτῆς ᾖ.

---

πατρίων καταλύσουσι μήτ' ἔξω τῶν νομιζομένων προσθήσουσι (*Ἰσοκρ. Ἀρεοπαγιτ. 29 ια΄, Ἁρποκρατ. λ. ἐπίθετοι ἑορταί, Λυσίου — Ἀνδοκ. 15*). — β) Τὸ θυσιαζόμενον πρόβατον δέον νὰ ἔχῃ ἀξίαν μιᾶς δραχμῆς, ὁ δὲ μέδιμνος κριθῆς δεκαοκτώ. Τὸ θυόμενον εἶναι, ἅγιον, καθαρόν, ὅσιον, ἁγνόν, εὐαγές, ἄχραντον, μὴ κολοβόν, ἀρτιμελές, μὴ ἔμπηρον ἢ ἠκρωτηριασμένον ἢ διάστροφον (*Πολυδ. Α. 33*). — γ) Ἦτοι τὴν πρώτην ἡμέραν ἑκάστου μηνός, ἀφιερωμένην εἰς τὸν Ἀπόλλωνα. Πῶς δὲ ταῖς νουμηνίαις εἰς τὴν ἀκρόπολιν ἀναβαίνοντες τ' ἀγαθὰ τῇ πόλει διδόναι, καὶ ἕκαστος ἑαυτῷ τοῖς θεοῖς εὔχεται (*Δημοσθ. Ἀριστογ. Α΄*). — δ) Καὶ κατὰ χρόνον δέ τινα, ἐκλιπόντων τῶν βοῶν, νομοθετηθῆναι διὰ τὴν σπάνιν ἀπέχεσθαι αὐτοὺς τῶν ζῴων συνάγειν βουλομένους, καὶ πληθῦσαι τῷ μὴ καταθύεσθαι (*Φιλοχώρ. Θ΄*).

536. α) Οἱ γὰρ ἐκ θυσίας ἰόντες, ἔφερον ἐξ αὐτῆς τοῖς οἰκείοις, κατὰ νόμον τινὰ (*σχόλ. Ἀριστοφ. Πλοῦτ.*). — β) Νόμος δ' ἦν τὰ ὑπολειπόμενα τῆς θυσίας τοὺς ἱερέας λαμβάνειν· ἃ εἰσίν, οἷον δέρματα καὶ κωλαῖ (*Ἀριστοφ. Σφῆκ.*).

537. Ταὐτὸν τῷ θέματι 247.

538. Δευτερόποτμος, ὁ ὑπό τινων ὑστερόποτμος· οὕτω δὲ ἔλεγον, ὁπότε τινὶ ὡς τεθνεῶτι τὰ νομιζόμενα ἐγένετο, καὶ ὕστερον ἀνεφάνη ζῶν. Ἀπειρῆσθαι τοῖς τοιαύτοις εἰσιέναι εἰς τὸ ἱερὸν τῶν Σεμνῶν Θεῶν (Ἐριννύων), οἱ πολέμοις, ἢ ὁ φημισθεὶς ἐπὶ ξένης τετελευτηκώς, ἔπειτα ἐπανελθών, ἢ ὁ δεύτερον διὰ γυναικείου κόλπου διαδὺς (ἐθεωροῦντο ὡς ἐξερχόμενοι ἐκ νέου ἐκ κόλπου γυναικός), ὡς ἔθος ἦν παρ' Ἀθηναίοις (*Ἡσύχιος*).

539. α) Τὸ δὲ Κυλώνειον ἄγος ἤδη μὲν ἐκ πολλοῦ διετάραττε τὴν πόλιν..... ὥρμησε συλλαμβάνειν ὁ Μεγακλῆς καὶ οἱ συνάρχοντες.......καὶ τοὺς μὲν ἔξω κατέλευσαν, οἱ δὲ τοῖς βωμοῖς προσφυγόντες ἀπεσφάγησαν (*Πλουτ. Σόλων XII*). Οἱ ἱκέται, ἐν οἷς καὶ οἱ ξένοι καταφεύγοντες εἰς τὸν βωμὸν τῶν θεῶν, καὶ ἰδίᾳ εἰς τὸν βωμὸν τοῦ Ἐλέου, ἦσαν ἀσφαλεῖς. — β) Ἂς γὰρ ἐν τῷ ἑκκαιδεκάτῳ τῶν ἀξόνων ὁρίζει τιμὰς τῶν ἐκκρίτων ἱερείων, εἰκὸς μὲν εἶναι πολλαπλασίας, ἄλλως δὲ κἀκεῖναι πρὸς τὰς νῦν εὐτελεῖς εἰσι (*Πλουτ. Σόλων XXIII*).

540. Κατὰ τὴν ἑορτὴν τῶν Παναθηναίων ἀνεστέλλετο πᾶσα ἐνέργεια, καὶ πᾶσα συνέλευσις, ἐκτὸς ἐὰν αὕτη ἐπρόκειτο νὰ συζητήσῃ περὶ ἀντικειμένου ἀφορῶντος εἰς τὴν ἑορτήν. Ἀλλὰ τῆς ἐκκλησίας....οὔσης ἑνδεκάτῃ τοῦ ἑκατομβαιῶνος μηνός, δωδεκάτῃ τὸν νόμον εἰσήνεγκεν, εὐθὺς τῇ ὑστεραίᾳ, καὶ ταῦτ' ὄντων Κρονίων, καὶ διὰ ταῦτ' ἀφειμένης τῆς βουλῆς, διαπραξάμενος μετὰ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

541. Ἐν τῷ τῶν Παναθηναίων ἀγῶνι μὴ ἐξεῖναι τῷ βαπτὸν ἔχοντι ἱμάτιον θεωρεῖν.

542. Καθ' ἑκάστην πενταετηρίδα Ἀθηναίων τὰ τοῦ Ὁμήρου ἔτη ῥαψῳδεῖσθαι.

543. Τοὺς μετοίκους ἐν ταῖς πομπαῖς, αὐτοὺς μὲν σκάφας φέρειν τὰς δὲ θυγατέρας αὐτῶν ὑδρεῖα καὶ σκιάδια.

544. Τὸν ἐξειπόντα τὰ μυστήρια τεθνάναι.

545. Ἐν οἷς τις ἱματίοις μυηθείη, εἰς ταῖν θεαῖν ταῦτα ἀνατιθέναι.

546. Μὴ τιθέναι ἱκετηρίαν τοῖς μυστηρίοις.

547. Κατ' ἔτος τελεῖν τὰ Θεσμοφόρια.

548. Τοὺς Πρυτάνεις ποιεῖν ἐκκλησίαν ἐν Διονύσου τῇ ὑστεραίᾳ τῶν Πανδίων.

---

τῶν ὑμῖν ἐπιβουλευόντων καθίζεσθαι νομοθέτας διὰ ψηφίσματος, ἐπὶ τῇ τῶν Παναθηναίων προφάσει (*Δημοσθ. Τιμοκρ. 26*).

541. Ληφθέντα μὲν γάρ τινα τῶν πολιτῶν ἐν τῷ ἀγῶνι τῶν Παναθηναίων ἄγεσθαι παρὰ τὸν ἀγωνοθέτην, ὅτι βαπτὸν ἔχων ἱμάτιον ἐθεώρει, τοὺς δὲ ἰδόντας ἐλεῆσαί τε καὶ παραιτεῖσθαι καὶ τοῦ κήρυκος ἀνειπόντος, ὅτι παρὰ τὸν νόμον ἐποίησεν ἐν τοιαύτῃ ἐσθῆτι θεώμενος (*Λουκιαν. Νιγρῖνος 14*).

542. Οὕτω γὰρ ὑπέλαβον ὑμῶν οἱ πατέρες σπουδαῖον εἶναι ποιητὴν (ἐνν. τὸν Ὅμηρον), ὥστε νόμον ἔθεντο καθ' ἑκάστην πενταετηρίδα τῶν Παναθηναίων, μόνου τῶν ἄλλων ποιητῶν ῥαψῳδεῖσθαι τὰ ἔπη (*Λυκοῦργ. Λεωκρ. 102*). Ἵππαρχος, ὁ τοῦ Πεισιστράτου, τὰ Ὁμήρου ἔπη πρῶτος ἐκόμισεν εἰς Ἀθήνας (*Αἰλιανός*).

543. Οἱ μέτοικοι χιτῶνας ἐνεδύοντο χρῶμα ἔχοντες φοινικοῦν, καὶ σκάφας ἔφερον, ὅθεν καὶ Σκαφηφόροι προσηγορεύοντο (*Σουΐδας λ. Ἀστοφορεῖν, Αἰλιανός*).

544. Διαγόρας ὁ Μήλιος:... τοῦτο οὖν ἐκήρυξαν κατ' αὐτοῦ Ἀθηναῖοι, καὶ ἐν χαλκῇ στήλῃ ἔγραψαν, τῷ μὲν ἀποκτείναντι τάλαντον λαμβάνειν, τῷ δὲ ἄγοντι δύο. ἐκηρύχθη δὲ τοῦτο διὰ τὸ ἀσεβὲς αὐτοῦ, ἐπεὶ τὰ μυστήρια πᾶσι διηγεῖτο, κοινοποιῶν αὐτὰ καὶ μικρὰ ποιῶν καὶ τοὺς βουλομένους μυεῖσθαι ἀποτρέπων (*Σουΐδα λ. Διαγόρας*).

545. Ἔθος γὰρ ἦν ἐν οἷς τις ἱματίοις μυηθείη, εἰς θεοῦ τινος ἀνατιθέναι ταῦτα, ὥσπερ δηλοῖ καὶ Μελάνθιος ἐν τῷ περὶ μυστηρίων. Πάτριόν ἐστι ταῖς θεαῖς ἀφιεροῦν καὶ τὰς στολὰς τοῖς μύσταις, ἐν αἷς τύχοιεν μυηθέντες. — Ἡ ἑορτὴ τῶν μηστηρίων, τῶν μὲν μικρῶν ἐγένετο πρὸς τιμὴν τῆς Περσεφόνης, τῶν δὲ μεγάλων πρὸς τιμὴν τῆς Δήμητρος. Εἰσερχόμενοι, ἐκαθαρίζοντο εἰς τὸ ὕδωρ, ἐνδυόμενοι νέα φορέματα, τὰ δὲ παλαιὰ ἀφιέρωναν εἰς τὰς θεάς.

546. Ἱκετηρία μὲν ἐστίν, ἄν τις ποιῇ δεήσεις, εἰκόνα φέρων ἐν χερσίν, ἢ κλάδον ἢ λαμπάδα, εἴτε καὶ χάρτην ἔγγραφον ἔχοντα τὰς δεήσεις (*Ἰω. Χρυσόστομος*). Ἄδραστος δ' εἰς Ἀθήνας ἀφικόμενος ἐπὶ τὸν ἐλέου βωμὸν κατέφυγε, καὶ ἱκετηρίαν θεὶς ἠξίου θάπτειν τοὺς νεκροὺς (*Ἀπολλόδωρος*).

547. Νόμος ἦν Ἀθηναίοις, κατ' ἔτος τελεῖν τὰ Θεσμοφόρια (πρὸς τιμὴν τῆς Δήμητρος), καὶ παρθένοι γυναῖκες, καὶ τὸν βίον σεμναί, κατὰ τὴν ἡμέραν τῆς τελετῆς τὰς νομικὰς βίβλους καὶ ἱεράς, ὑπὲρ τῶν κορυφῶν αὐτῶν ἀνετίθεσαν, καὶ ὡσανεὶ λιτανεύουσαι ἐπήρχοτο εἰς Ἐλευσῖνα (*Σχόλ. εἰς Εἰδυλ. κ'. Θεοκρίτου*).

548. Ἐν δὲ ταύτῃ ἐπειδὰν χρηματίσωσιν οἱ πρόεδροι περὶ ὧν διῴκηκεν ὁ ἄρχων, χρηματί-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



ἐν δὲ ταύτῃ χρηματίζειν πρῶτον μὲν περὶ ἱερῶν, ἔπειτα τὰς προβολὰς παραδιδότωσαν τὰς γεγενημένας ἕνεκα τῆς πομπῆς ἢ τῶν ἀγώνων, τῶν ἐν τοῖς Διονυσίοις, ὅσαι ἂν μὴ ἐκτετισμέναι ὦσιν.

549. Δημοσίᾳ μηδένα ἀποκτιννύναι πρὶν ἂν εἰς Δῆλον ἀφίκηται τὸ πλοῖον, καὶ πάλιν δεῦρο.

550. Ἁλῴοις ἱερεῖα μὴ θύειν.

551. Τῷ Ὀλύμπια νικήσαντι δραχμὰς πεντακοσίας δίδοσθαι.

552. *Χοροί*. Ἐν ἐκκλησίᾳ τὸν Ἄρχοντα ἐπικληροῦν τοῖς χοροῖς τοὺς Αὐλητὰς (α). *Τὸν Τραγικὸν* χορὸν συνιστάναι ἐκ πεντεκαίδεκα (β).

553. Μὴ χορεύειν ξένον ἢ χιλίας ἀποτίνειν τὸν χορηγόν.

554. Ξένον οὐκέτι εἰσελθόντα εἰς τὸ θέατρον ἐξεῖναι προσκαλέσασθαι πρὸς τὸν Ἄρχοντα.

---

ζειν καὶ περὶ ὧν ἄν τις ἠδικηκὼς ᾖ περὶ τὴν ἑορτὴν ἢ παρανενομηκὼς (*Δημοσθ. Μειδ. 9*). Τὰ Πάνδια ἐπανηγυρίζοντο ὑπὲρ τοῦ Διός.

549. Ἐπειδὰν οὖν ἄρξωνται τῆς θεωρίας, νόμος ἐστὶν αὐτοῖς ἐν τῷ χρόνῳ τούτῳ καθαρεύειν τὴν πόλιν καὶ δημοσίᾳ μηδένα ἀποκτιννύναι, πρὶν ἂν ἀφίκηται τὸ πλοῖον εἰς Δῆλον, καὶ πάλιν δεῦρο· τοῦτο δ' ἐνίοτε ἐν πολλῷ χρόνῳ γίγνεται, ὅταν τύχωσιν ἄνεμοι ἀπολαβόντες αὐτούς (*Πλάτων. Φαίδων Δ Β'., Ξενοφ. Ἀπομνημ. IV. 8. 2*).

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

550. Ἄξιον δὲ κἀκεῖνο ἐνθυμηθῆναι, ὦ ἄνδρες Ἀθηναῖοι, ὅτι Ἀρχίαν τὸν ἱεροφάντην γενόμενον, ἐξελεγχθέντα ἐν τῷ δικαστηρίῳ ἀσεβεῖν θύοντα παρὰ τὰ πάτρια τὰς θυσίας, ἐκολάσατε ὑμεῖς, καὶ ἄλλα τε κατηγορήθη αὐτοῦ καὶ ὅτι Σινώπῃ τῇ ἑταίρᾳ Ἁλῴοις ἐπὶ τῆς ἐσχάρας τῆς ἐν τῇ αὐλῇ Ἐλευσῖνι προσαγούσῃ ἱερεῖον θύσειεν, οὐ νομίμου ὄντος ἐν ταύτῃ τῇ ἡμέρᾳ ἱερεῖα θύειν, οὐδ' ἐκείνου οὔσης τῆς θυσίας, ἀλλὰ τῆς ἱερείας (*Δημοσθ. Νεαίρ. 116*).

551. *Πλουτ. Σόλων XXIII. 20.* Συνέστειλε (Σόλων) καὶ τὰς τιμὰς τῶν ἐν ἀγῶνι ἀθλητῶν. Ὀλυμπιονίκῃ μὲν τάξας πεντακοσίας δραχμάς, ἰσθμιονίκῃ ἑκατὸν καὶ ἀνάλογον ἐπὶ τῶν ἄλλων (*Διογ. Λαερτ. Σόλων VIII*). Ἴδε ν. 1. Κ. 10. 54 καὶ ν. 10 Π. 50. 12.

552. α) Παρούσης δὲ τῆς ἐκκλησίας ἐν ᾗ τὸν ἄρχοντα ἐπικληροῦν ὁ νόμος τοῖς χοροῖς τοὺς αὐλητὰς κελεύει... παρελθὼν ὑπεσχόμην ἐγὼ χορηγήσειν ἐθελοντὴς καὶ κληρουμένων πρῶτος αἱρεῖσθαι τὸν αὐλητὴν ἔλαχον (*Δημοσθ. Μειδ. 13*). Ἡ κλήρωσις ἐγένετο ἕνα μῆνα πρὸ τῆς ἑορτῆς. — β) Τὸ δὲ παλαιὸν ὁ τραγικὸς χορὸς (εἰς ὃν ἐψάλλοντο θλιβερὰ ᾄσματα) πεντήκοντα ἦσαν, ἄχρι τῶν Εὐμενίδων Αἰσχύλου· πρὸς δὲ τὸν ὄχλον αὐτῶν τοῦ πλήθους ἐκπτοηθέντος, συνέστειλεν ὁ νόμος εἰς ἐλάττω ἀριθμὸν τὸν χορόν (*Πολυδ. Δ. 110*).

553. Νόμου γὰρ ὄντος Ἀθήνησι τότε, μὴ χορεύειν ξένον, ἢ χιλίας ἀποτίνειν τὸν χορηγόν, ἅπαντας εἰσαγαγὼν ξένους τοὺς χορεύοντας ἑκατὸν ὄντας, ἅμα καὶ ζημίαν ἀνὰ χιλίας ὑπὲρ ἑκάστου, εἰσήνεγκεν εἰς τὸ θέατρον (*Πλουτ. Φωκίων XXVIII*). — Οὐκ ἐξῆν δὲ ξένον χορεύειν ἐν τῷ Ἀστικῷ χορῷ, ἐν δὲ τῷ Ληναίῳ ἐξῆν, ἐπεὶ καὶ μέτοικοι ἐχορήγουν (*σχολ. εἰς Πλοῦτον Ἀριστοφ.*).

554. Κελεύοντος δὲ τοῦ νόμου τῶν χορευτῶν ἐξάγειν ὃν ἄν τις βούληται ξένον ἀγωνιζόμενον, οὐκ ἐξὸν ἐπιχειρήσαντα κωλύειν (ἤτοι ἐὰν ἔλαβε μέρος ἤδη δὲν ἠδύνατο νὰ ἐμποδισθῇ, *Ἀνδοκιδ. Ἀλκιβ. 20*).

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



555. Ἂν τις χορηγὸς ἀγωνιζόμενον τὸν ξένον καλέσῃ μὲν πρὸς τὸν Ἄρχοντα, πεντήκοντα δραχμάς, ἐὰν δὲ καθέζεσθαι κελεύσῃ χιλίας ἀποτίνειν.

556. Ἐξεῖναι τοὺς ἀτίμους ἀγωνιζομένους ἐπιλαμβάνεσθαι τῆς χειρός, καὶ ἐξάγειν ἐκ τῆς θυμέλης.

557. Τὰς τραγῳδίας τῶν ποιητῶν, Αἰσχύλου, Σοφοκλέους, Εὐριπίδου, τὸν γραμματέα τῆς πόλεως παραγινώσκειν, τοῖς ὑποκρινομένοις οὐκ ἐξεῖναι ὑποκρίνεσθαι.

558. Τοῦ Ποσειδῶνος ἀγῶνα ποιεῖν ἐν Πειραιεῖ κυκλίων χορῶν οὐκ ἔλαττον τριῶν, δίδοσθαι μὲν τοῖς νικῶσιν οὐκ ἐλάττονος δέκα μνῶν, τοῖς δὲ δευτέροις ὀκτώ, ἓξ δὲ τοῖς τρίτοις κριθεῖσι.

## ια΄. Διαγωνισμοὶ δράματος, μουσικῆς. Θέατρον

559. *Διαγωνισμοὶ δράματος καὶ κωμῳδίας. Θέατρον.* Τῶν περὶ τῶν κωμῳδῶν ἀγῶνα τοῖς χύτροις ἐπιτελεῖν ἐφάμιλλον ἐν τῷ θεάτρῳ, καὶ τὸν νικήσαντα εἰς ἄστυ καταλέγεσθαι.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

---

555. Ἐβούλετο γὰρ ὁ δῆμος μηδένα γίνεσθαι θόρυβον κατὰ τὴν ἑορτήν· διὰ τοῦτο γὰρ κἂν παρανόμως τις ἠγωνίζετο, οὐ συνεχώρουν τῷ χορηγῷ αὐτὸν ἐξάγεσθαι, ἀλλὰ τότε μὲν ἀγωνίζεσθαι· μετὰ ταῦτα δὲ κρίνεσθαι προσέταττον.

556. Ἐκέλευε γὰρ νόμος, τοὺς ξένους προσκαλεῖν πρὸς τὸν ἄρχοντα· τοὺς δὲ ἀτίμους ἐπιλαμβάνεσθαι τῆς χειρός, καὶ ἐξάγειν ἐκ τῆς θυμέλης.

557. Τοὺς ἀνωτέρω τρεῖς ποιητάς, ἀπολαμβάνοντας μεγάλης ὑπολήψεως, ἀπηγορεύοντο νὰ ὑποκρίνωνται οἱ ὑποκριταί. — Εἰσὶ δὲ Ἀθηναίοις εἰκόνες ἐν τῷ θεάτρῳ καὶ τραγῳδίας καὶ κωμῳδίας ποιητῶν. τραγῳδίας δὲ κεῖνται τῶν φανερῶν, Εὐριπίδης, Σοφοκλῆς. τὴν δὲ εἰκόνα τοῦ Αἰσχύλου, πολλῷ τε ὕστερον τῆς τελευτῆς δοκῶ ποιηθῆναι, καὶ τῆς γραφῆς, ἣ τὸ ἔργον ἔχει τὸ ἐν Μαραθῶνι (*Παυσ. Ἀττικὰ 1. 21. 1*).

558. Ἡ ὄρχησις τοῦ κυκλικοῦ χοροῦ ἦτο ἡ λεγομένη διονυσιακὴ πυρρίχη, ἐπιεικεστέρα οὖσα τῆς ἀρχαίας, ἤτοι τῆς πολεμικῆς, εἶχον γὰρ οἱ ὀρχούμενοι θύρσους ἀντὶ δοράτων (*Ἀθην. ΙΔ΄. 631, Ἀριστοφ. Ὀρν. 123*). Εἰς τοὺς κυκλίους χορούς, τρεῖς ἐν ὅλῳ, ὁ πρῶτος νικητὴς ἐλάμβανεν ὡς βραβεῖον δέκα μνᾶς, ὁ δεύτερος χορὸς ὀκτὼ καὶ ὁ τρίτος ἕξ. (*Σουΐδα, λ. χορηγός, Ἀθήν. ΙΔ. 633, Πολυδ. Δ. 106 ἐπ.*).

559. Χύτρα ὠνομάζοντο ἡ τρίτη ἡμέρα τῆς ἑορτῆς τῶν Ἀνθεστηρίων πρὸς τιμὴν τοῦ Διονύσου. Κατ' αὐτὴν ἐγένοντο γυμνάσια τῶν Κωμῳδῶν, εἰς ἃ συμμετεῖχον καὶ οἱ δοῦλοι, οἵτινες, ἐὰν ἠρίστευον, ἀπέκτων τὴν ἰδιότητα τοῦ πολίτου. Κατὰ τὴν ἑορτὴν αὐτὴν ἐξετίθεντο τὰ βρέφη (*Ἀριστοφ. Βάτρ. 1188, Θεσμοφ. 512 ἐπ.*). Εἰσήνεγκε δὲ καὶ τοὺς νόμους, τὸν περὶ τῶν Κωμῳδῶν ἀγῶνα τοῖς χύτροις ἐπιτελεῖν, ἐφάμιλλον ἐν τῷ θεάτρῳ, καὶ τὸν νικήσαντα εἰς ἄστυ καταλέγεσθαι, πρότερον οὐκ ἐξόν, ἀναλαμβάνων τὸν ἀγῶνα ἐκλελοιπότα.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



560. Μὴ εἰσελθεῖν τινα εἰπεῖν, μήπω τριάκοντα ἔτη γεγονότα.

561. Τὸν Ἄρχοντα μὴ φανερῶς κωμῳδεῖν.

562. Μὴ κωμῳδεῖν ἐξ ὀνόματος.

563. Εὐκοσμίαν ἔχειν ἐν τοῖς θεάτροις. Τὸν Ἄρχοντα τοῖς ὑπηρέταις ἐξείργειν τὸν μὴ πείθοντα εἰπεῖν, εἰ δ' οὐδ' οὕτω ἐπείσθη, ἐπιβολὴν ἐπιβάλλειν.

564. Ἀλεκτρυόνας ἀγωνίζεσθαι δημοσίᾳ ἐν τῷ θεάτρῳ μιᾶς ἡμέρας τοῦ ἔτους.

565. *Μουσική.* Τὴν μουσικὴν κατὰ τὰ εἴδη αὐτῆς διαιρεῖσθαι, καὶ οὐκ ἐξιέναι ἄλλῳ εἰς ἄλλο καταχρῆσθαι μέλους εἶδος.

---

560. Οὔπω ἐπέτρεπον ἐμαυτῷ τὸ λέγειν δημοσίᾳ διὰ τὸ νέον τῆς ἡλικίας. Οὐ γὰρ πρῶτον καθίει τὰ δράματα ὁ ποιητὴς εὐλαβούμενος. Ἀπὸ δὲ τῶν Ἱππέων ἤρξατο εἰσιέναι. Νόμος δὲ ἦν μὴ εἰσελθεῖν τινα εἰπεῖν, μήπω τεσσαράκοντα ἔτη γεγονότα, ὡς δέ τινες τριάκοντα (*σχόλ. Ἀριστοφ. Νεφέλ. 530*).

561. Ὁ κωμῳδοποιὸς ἐξετέλει χρέη δημοσίου ἐλεγκτοῦ (*Ἰσοκράτ. Εἰρήν. 161*). Βαβυλωνίοις δράματι πολλοὺς κακῶς εἶπεν. Ἐκωμῴδησε γὰρ τάς τε κληρωτὰς καὶ τὰς χειροτονητὰς ἀρχάς, καὶ Κλέωνα παρόντων τῶν ξένων. Καὶ διὰ τοῦτο ὀργισθεὶς ὁ Κλέων, ἐγράψατο αὐτὸν ἀδικίας εἰς τοὺς πολίτας, ὡς εἰς ὕβριν τοῦ δήμου ταῦτα πεποιηκότα. (*σχόλ. Ἀριστοφ. Ἀχαρν. 67, καὶ Ὀρνιθ. 1297*).

562. Πιθανῶς ἡ ἀπαγόρευσις αὕτη νὰ ἐτέθη μετὰ τὴν καταδίκην τοῦ Σωκράτους, ὅστις διεκωμῳδήθη εἰς τὰς Νεφέλας, ὡς εἰσάγων καινὰ δαιμόνια.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

563. Διὰ τὴν τήρησιν τῆς τάξεως οἱ ἀρχαῖοι εἶχον θεατρικὴν ἀστυνομίαν, ἀποτελουμένην ἐκ ῥαβδοφόρων ἢ ῥαβδούχων (*Ἀριστοφ. Εἰρήν. 718*). Τὸ θέατρον ἤρχιζε τὴν πρωΐαν ἢ μετὰ τὸ ἄριστον (*Αἰσχίν. Κτησιφ. 76*), διήρκουν δὲ αἱ παραστάσεις 10 - 12 ὥρας, οὗ ἕνεκα οἱ θεαταὶ ἐν τοῖς διαλείμμασι ἐλάμβανον οἶνον καὶ διάφορα ἄλλα (*Ἀριστοτ. Ἠθικ. Νικομ. 1. 5, Ἀθην. ΙΑ'. 465, Ἴδε πλείονα εἰς Αἰσχίν. Κτησιφ.*).

564. Πόθεν δὲ τὴν ἀρχὴν ἔλαβεν ὅδε ὁ νόμος, ἐρῶ. ὅτε Θεμιστοκλῆς ἐπὶ τοὺς βαρβάρους ἐξῆγε τὴν πολιτικὴν δύναμιν, ἀλεκτρύονας ἐθεάσατο μαχομένους· οὐδὲ ἀργῶς αὐτοὺς εἶδεν, ἐπέστησε δὲ τὴν στρατιάν. Τὸ τοίνυν γενόμενον αὐτοῖς σύνθημα τότε ἐς ἀρετὴν ἐβουλήθη διαφυλάττειν καὶ ἐς τὰ ὅμοια ἔργα ὑπόμνησιν (*Αἰλιανοῦ, Ποικίλης Ἱστορίας Β'. 28*). Καὶ εἰ θεάσαιο καὶ ὀρτύγων καὶ ἀλεκτρυόνων ἀγῶνας......μάλιστα ἂν μάθῃς ὡς ὑπὸ νόμῳ αὐτὸ δρῶμεν καὶ προστέτακται πᾶσι τοῖς ἐν ἡλικίᾳ παρεῖναι καὶ ὁρᾶν τὰ ὄρνεα διαπυκτεύοντα μέχρι τῆς ἐσχάτης ἀπαγορεύσεως (*Λουκιαν. Ἀνάχαρσις ἢ περὶ γυμνασίων 37, Πολυδ. Ζ'. 136, Πλουτ. Λυκοῦργ. 25*).

565. Τοῖς περὶ τὴν μουσικὴν πρῶτον τὴν τότε, ἵνα ἐξαρχῆς διέλθωμεν τὴν τοῦ ἐλευθέρου λίαν ἐπίδοσιν βίου. διῃρημένη γὰρ δὴ τότε ἦν ἡμῖν ἡ μουσικὴ κατὰ εἴδη τε ἑαυτῆς ἄττα καὶ σχήματα, καὶ τί εἶναι εἶδος ᾠδῆς εὐχαὶ πρὸς θεούς, ὄνομα δὲ ὕμνοι ἐπεκαλοῦντο· καὶ τούτῳ δὴ τὸ ἐναντίον ἦν ᾠδῆς ἕτερον εἶδος, θρήνους δέ τις ἂν αὐτοὺς μάλιστα ἐκάλεσε· καὶ παίωνες ἕτερον, καὶ ἄλλο Διονύσου γένεσις, οἶμαι, διθύραμβος λεγόμενος. νόμους τε αὐτὸ τοῦτο τοὔνομα ἐκάλουν, ᾠδὴν ὥς τινα ἑτέραν· ἐπέλεγον δὲ κιθαρῳδικούς. τούτων δὴ διατεταγμένων καὶ ἄλλων τινῶν οὐκ ἐξῆν ἄλλῳ εἰς ἄλλο καταχρῆσθαι μέλους εἶδος· τὸ δὲ κῦρος τούτων γνῶναί τε καὶ ἅμα γνόντα δικάσαι, ζημιοῦν τε αὖ τὸν μὴ πειθόμενον οὐ σύριγξ ἦν οὐδέ τινες ἄμουσοι βοαὶ πλήθους, καθάπερ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

566. *Σχολεῖα — Γυμνάσια — Γυμνασίαρχος.* Οἱ δὲ τῶν παίδων διδάσκαλοι ἀνοιγέτωσαν μὲν τὰ διδασκαλεῖα μὴ πρότερον ἡλίου ἀνιόντος, κλειέτωσαν δὲ πρὸ ἡλίου δύνοντος. Καὶ μὴ ἐξέστω τοῖς ὑπὲρ τὴν τῶν παίδων ἡλικίαν οὖσιν εἰσιέναι τῶν παίδων ἔνδον ὄντων, ἐὰν μὴ υἱὸς διδασκάλου ἢ ἀδελφός, ἢ θυγατρὸς ἀνήρ· ἐὰν δέ τις παρὰ ταῦτ' εἰσίῃ, θανάτῳ ζημιούσθω. Καὶ οἱ γυμνασιάρχαι τοῖς Ἑρμαίοις μὴ ἐάτωσαν συγκαθιέναι μηδένα τῶν ἐν ἡλικίᾳ τρόπῳ μηδενί· ἐὰν δὲ ἐπιτρέπῃ καὶ μὴ ἐξείργῃ τοῦ γυμνασίου, ἔνοχος ἔστω ὁ γυμνασιάρχης τῷ τῆς ἐλευθέρων φθορᾶς νόμῳ. Οἱ δὲ χορηγοὶ οἱ καθιστάμενοι ὑπὸ τοῦ δήμου ἔστωσαν τὴν ἡλικίαν ὑπὲρ τετταράκοντα ἔτη.

567. Δοῦλον μὴ γυμνάζεσθαι, μηδὲ ξηραλοιφεῖν ἐν ταῖς παλαίστραις.

## ιβ΄. Φιλόσοφοι - Ρήτορες

568. *Φιλόσοφοι.* Λόγων τέχνης μὴ διδάσκειν.

569. Μηδένα φιλοσόφων σχολῆς ἀφηγεῖσθαι, ἂν μὴ τῇ βουλῇ καὶ τῷ δήμῳ δόξῃ, εἰ δὲ μή, θάνατον εἶναι τὴν ζημίαν.

570. *Ρήτορες.* Μὴ εἰσελθεῖν τινα εἰπεῖν μήπω τριάκοντα ἔτη γεγονότα.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

---

τὰ νῦν, οὐδ' αὖ κρότοι ἐπαίνους ἀποδίδοντες, ἀλλὰ τοῖς μὲν γεγονόσι περὶ παίδευσιν δεδογμένον ἀκούειν ἦν αὐτοῖς μετὰ σιγῆς διὰ τέλους, παισὶ δὲ καὶ παιδαγωγοῖς καὶ τῷ πλείστῳ ὄχλῳ ῥάβδου κοσμούσης ἡ νουθέτησις ἐγίγνετο (*Πλάτων. Νόμοι Γ΄, XV. σελ. 700, ἴδε Β΄. XI, σελ. 669*).

566. *Αἰσχίν. Τιμαρχ. 12.* Ἑρμαῖα ὠνομάζοντο ἡ ἑορτὴ ἡ πανηγυριζομένη πρὸς τιμὴν τοῦ Ἑρμοῦ ἀπὸ τοὺς νέους τῶν Γυμνασίων, κατὰ τὴν ὁποίαν ἔπινον, ἐμέθυον, κατ' αὐτὴν δὲν ἦσαν δεκτοὶ οἱ παῖδες, ἀλλὰ μόνος ὁ Γυμνασιάρχης (*Διογένης*). Γυμνασιάρχαι ὠνομάζοντο οἱ ἐπιφορτισμένοι νὰ προμηθεύουν τὸ ἔλαιον καὶ τὰ λοιπὰ χρήσιμα εἰς τὰς παλαίστρας. *Ἴδε Αἰσχίν. Τιμάρχ. 6 ἐπ.*

567. Ἴδε ἀνωτέρω θέμα 64. *Αἰσχίν. Τιμάρχ. 138.*

568. Ὁ Κριτίας, ὅτε τῶν τριάκοντα ὢν νομοθέτης μετὰ Χαρικλέους, ἀπεμνημόνευσεν αὐτῷ καὶ ἐν τοῖς νόμοις ἔγραψε, λόγων τέχνην μὴ διδάσκειν (καὶ τοῦτο, διότι ἤθελον περιορίσωσι τὴν μόρφωσιν, *Ξενοφ. Ἀπομνημον.*).

569. Καὶ ὁ νόμος οὗτος εἰσήχθη ὑπὸ τῶν Τριάκοντα, ἀποτέλεσμα δ' αὐτοῦ ἦτο νὰ ἀναχωρήσωσι τῶν Ἀθηνῶν πάντες οἱ φιλόσοφοι. Μετὰ τὴν κατάλυσιν τῶν Τριάκοντα, ὁ νόμος οὗτος κατελύθη. *Ἴδε Διογ. Λαέρτ. 1. σελ. 223.*

570. Ἐλάμβανον γὰρ οἱ ῥήτορες δραχμήν, ὅτε συνηγόρουν ὑπὲρ τῆς πόλεως ἢ ὑπὲρ ἄλλου τινός· ἐκ τούτου δὲ φαίνεται ὅτι μισθοφόρος ἦν ἡ ἀρχή. Κληρωτοὺς δὲ γενομένους δέκα συνηγόρους φησὶ (*Ἀριστοτέλης*). — *Συνήγοροι — ἰδιῶται.* Ἐν ἀρχῇ ἀπηγορεύετο εἰς τοὺς διαδίκους νὰ προσλαμβάνουν συνήγορον, βραδύτερον ὅμως ἐδέχθησαν νὰ γράφῃ τὸν λόγον ἔμπειρος ῥήτωρ, καὶ νὰ ἀπαγγέλῃ ὁ διάδικος, καὶ τοῦτο διότι συνήθως οἱ διάδικοι δὲν εἶχον ἴσην ἱκανότητα ἐν τῷ λέγειν. Τοιοῦτοι ῥήτορες ὑπῆρξαν ὁ Ἀντιφῶν, ὁ Δημοσθένης, ὁ Ἰσοκράτης, ὁ Λυσίας, ὁ Ἰσαῖος καὶ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens



571. Ἐάν τις λέγῃ ἐν τῷ δήμῳ τὸν πατέρα τύπτων ἢ τὴν μητέρα, ἢ μὴ τρέφων, ἢ μὴ παρέχων οἴκησιν... «ἢ τὰς στρατείας», φησί, «μὴ ἐστρατευμένος, ὅσαι ἂν αὐτῷ προσταχθῶσιν, ἢ τὴν ἀσπίδα ἀποβεβληκώς»... «ἢ πεπορνευμένος», φησίν, «ἢ ἡταιρηκώς»... «ἢ τὰ πατρῷα», φησί, «κατεδηδοκὼς ἢ ὧν ἂν κληρονόμος γένηται»... Ἐὰν δέ τις παρὰ ταῦτα μὴ μόνον λέγῃ... «δοκιμασίαν μέν», φησίν, «ἐπαγγειλάτω Ἀθηναίων ὁ βουλόμενος, οἷς ἔξεστιν», ὑμᾶς δ' ἤδη κελεύει περὶ τούτων ἐν τῷ δικαστηρίῳ διαγιγνώσκειν.

572. Τὸν ῥήτορα παιδοποιεῖσθαι κατὰ τοὺς νόμους καὶ γῆν ἐντὸς ὅρων κεκτῆσθαι.

573. Μὴ προοιμιάζεσθαι, μηδὲ οἰκτίζεσθαι, μηδ' ἔξω τοῦ πράγματος λέγειν.

## ιγ΄. Συμπόσια

574. *Συμπόσια.* Τοὺς κεκλημένους μὴ εἶναι ἐπὶ τοῖς τριάκοντα.

575. Πάντας μαγείρους τοὺς ἐν ταῖς συνόδοις διακονοῦντας παρὰ τοῖς γυναικονόμοις ἀπογράφεσθαι.

---

